eul_wid: reo-af

Ἀλέξανδρος ὁ Ἀφροδισιεύς · Alexander of Aphrodisias

# Commentaries-Aristotle in Greek

Ὑπομνήματα εἰς τὸν Ἀριστοτέλην ἐν Ἑλληνικοῖς

**Period:** Ῥωμαϊκή Roman
**Dialect:** Κοινὴ φιλοσοφική Philosophical Koine
**Domain:** Φιλοσοφία Philosophy
**Format:** Πραγματεία Treatise
**Affiliation:** Aristotelian

in Sens.1. (1t) ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΑΙΣΘΗΤΩΝ. Εἰπὼν ἐν τοῖς Περὶ ψυχῆς περί τε ψυχῆς τῆς συμπάσης κοινῶς καὶ καθόλου καὶ ἰδίᾳ περὶ ἑκάστης τῶν δυνάμεων αὐτῆς, πόσαι τέ εἰσι καὶ τίνες καὶ ἐν τίσιν ἑκάστη αὐτῶν τὸ εἶναι, ἐν οἷς καὶ περὶ τῆς αἰσθητικῆς δυνάμεως ποιησάμενος τὸν λόγον, καὶ τίς τέ ἐστιν εἰπὼν καὶ εἰς πόσας αἰσθήσεις διαιρεῖται, καὶ ἰδίᾳ περὶ ἑκάστης τῶν αἰσθήσεων διεξελθὼν καὶ εἰπών, τίς μὲν ἡ δύναμις αὐτῶν ἑκάστης, ἀφ’ ἧς τὸ αἰσθάνεσθαι, τίς δὲ ἡ ἐνέργεια καὶ περὶ τί, ποιησάμενος δὲ καὶ περὶ τοῦ καθ’ ἑκάστην αἴσθησιν αἰσθητοῦ λόγον, ἐφ’ ὅσον ἦν χρήσιμον αὐτῷ πρὸς τὴν τῶν αἰσθήσεων ἐνέργειαν, ἐν τούτῳ τῷ βιβλίῳ περί τε τῶν αἰσθητηρίων λέγει, τί τὸ αἰσθητήριον ἑκάστης αἰσθήσεως καὶ ἐκ τίνος, ἐπεὶ μὴ οἷόν τε ἦν ἄνευ αἰσθητηρίου αἰσθάνεσθαι (διὰ γὰρ σώματος ἡ τῆς αἰσθητικῆς ψυχῆς ἐνέργεια, ὥσπερ οὖν καὶ αἱ τῶν ἄλλων ἢ τῶν γε πλείστων ἀεί), ἔτι δὲ περὶ τῶν αἰσθητῶν, τί τὸ ἑκάστῃ αἰσθήσει αἰσθητὸν καὶ τίνι ὄντι αὐτῷ κατὰ τὴν οἰκείαν φύσιν τὸ αἰσθητῷ εἶναι ὑπάρχει, ἐπεὶ μὴ ταὐτὸν τοῖς αἰσθητοῖς τό τε εἶναι καὶ τὸ αἰσθητοῖς εἶναι, ἦν δὲ εἰρημένον αὐτῷ περὶ αὐτῶν ὡς περὶ αἰσθητῶν. Δηλοῖ δὲ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου τὴν πρόθεσιν τῆς κατ’ αὐτὸ πραγματείας.

in Sens.2 λέγων δὲ περὶ αἰσθητηρίων τε καὶ αἰσθητῶν ἐν αὐτῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν ἐπέγραψεν αὐτό, ὡς καὶ τοῦ περὶ τῶν αἰσθητηρίων λόγου εἰς τὴν περὶ τῶν αἰσθήσεων συντελοῦντος θεωρίαν· κοινὴ γὰρ ἡ αἴσθησις ψυχῆς καὶ σώματος. ἢ αἰσθήσεων ἀντὶ τοῦ ‘αἰσθητηρίων‘· αἰσθήσεις γὰρ καὶ τὰ αἰσθητήρια καλοῦσιν. Ἀρχόμενος δὲ τοῦ βιβλίου πρῶτον λέγει, ὅτι ἐστὶν ἀκόλουθος τῇ περὶ ψυχῆς θεωρίᾳ [ὅτι] ἡ περὶ τῶν ζῴων καὶ τῶν ἐμψύχων πάντων καὶ [ἡ] περὶ τῶν ἐνεργειῶν αὐτῶν, τῶν τε κοινῶν καὶ τῶν ἰδίων καθ’ ἕκαστον εἶδος αὐτῶν· ἀρχὴ γὰρ τῶν ψυχὴν ἐχόντων ἁπάντων ἡ ψυχή. λέγει δὲ καὶ τίνες μὲν αὐτῶν κοιναί, τίνες δὲ ἴδιαι. τοῦ δὲ περὶ τῶν τῆς ψυχῆς ἐνεργειῶν λέγοντα εὐλόγως λέγειν περὶ τῶν ἐνεργειῶν τῶν τε ζῴων καὶ τῶν ζωὴν ἐχόντων αἰτίαν ἀποδέδωκε τὴν ὅτι αἱ ἐνέργειαι αὐτῶν αἵ τε κοιναὶ καὶ αἱ καθ’ ἕκαστον ἴδιοι σχεδὸν πᾶσαι κοιναὶ τῆς τε ψυχῆς καὶ τοῦ σώματος· δι’ οὗ καὶ αὐτοῦ βεβαιοῦται τὸ ἐντελέχειαν εἶναι τὴν ψυχὴν σώματος φυσικοῦ ὀργανικοῦ. πίστιν δὲ παραθέμενος τοῦ τὰς τῶν ἐμψύχων ἐνεργείας κοινὰς εἶναι ψυχῆς τε καὶ σώματος τὸ πάσας ἢ δι’ αἰσθήσεως ἢ μετ’ αἰσθήσεως γίνεσθαι, ὅτι ἡ αἴσθησις καὶ ἡ κατ’ αὐτὴν ἐνέργεια κοινὴ ψυχῆς τε καὶ σώματος ὡς ἐναργὲς λαβὼν εὐλόγως τοῦ περὶ τῶν αἰσθητηρίων ἄρχεται λόγου, ἐπειδὴ φθάνει μὲν εἰρῆσθαι

αὐτῷ ὁ περὶ τῆς αἰσθητικῆς ψυχῆς λόγος, κοινὴ δὲ ἥ τε αἴσθησις καὶ ἡ κατ’ αὐτὴν ἐνέργεια ψυχῆς τε καὶ σώματος, ἔδει δὲ τὸν περὶ τῶν κοινῶν λέγοντα πρῶτον περὶ αἰσθήσεως λέγειν· κοινοτάτη γὰρ αὕτη πᾶσι τοῖς ζῴοις καὶ φανερωτάτη τῶν κατὰ ψυχὴν ἐνεργειῶν. p.

in Sens.3 436a1 Ἐπεὶ δὲ περὶ ψυχῆς κα θ ’ αὑτὴν διώρισται πρότερον καὶ περὶ τῶν δυνάμεων ἑκάστης κατὰ μόριον αὐτῆ ς . Ἀρχόμενος τοῦ βιβλίου, ὅτι ἀκόλουθος ἡ ἐν αὐτῷ πραγματεία τῇ περὶ ψυχῆς δείκνυσιν, ὡς εἶπον· ἀκόλουθος μὲν γὰρ τῷ περὶ ψυχῆς λόγῳ ὁ περὶ τῶν ζῴων τε καὶ ψυχὴν ἐχόντων λόγος καὶ τῶν ἐνεργειῶν τῶν τούτων, τῶν τε ἰδίων καθ’ ἕκαστον εἶδος τῶν ζῴων καὶ τῶν κοινῶν. αἱ δὲ ἐνέργειαι αὐτοῖς οὐκ ἄνευ σώματος· διὰ γὰρ αἰσθήσεως αἱ πλεῖσται σχεδόν, ἡ δὲ αἴσθησις κοινὴ ψυχῆς τε καὶ σώματος. κα θ ’ αὑτὴν δὲ εἶπε περὶ ψυχῆς διωρίσθαι ἀντὶ τοῦ ἰδίᾳ τε κοινῶς καὶ καθόλου περὶ ὅλης ψυχῆς καὶ ἰδίᾳ περὶ τῶν μορίων τε καὶ δυνάμεων αὐτῆς ἑκάστη ς . ἐν γὰρ τοῖς Περὶ ψυχῆς πρῶτον μὲν καθόλου περὶ ψυχῆς ἐποιήσατο τὸν λόγον καὶ ὡρίσατο αὐτήν, ὡς ἦν οἷόν τε τὰ ἔχοντα ἐν αὑτοῖς τὸ μέν τι πρῶτον καὶ ἀτελέστερον τὸ δὲ δεύτερον καὶ τελειότερον ὁρίσασθαι· ἔπειτα περὶ ἑκάστης τῶν δυνάμεων διεξῆλθε, περὶ τῆς θρεπτικῆς, περὶ τῆς αἰσθητικῆς, περὶ τῆς φανταστικῆς, περὶ τῶν ἄλλων ἑκάστης. ἢ περὶ ψυχῆς κα θ ’ ἑαυτὴ ν , ὅτι μὴ καὶ περὶ τοῦ σώματος, σὺν ᾧ τῇ ψυχῇ καὶ τὸ εἶναι· διὰ τοῦτο γὰρ νῦν περὶ τῶν αἰσθητηρίων ἐρεῖ. εἰπὼν δὲ περὶ τῶν ζῴων ἑπόμενον εἶναι τὴν ἐπίσκεψιν ποιήσασθα ι , προσέθηκε τὸ καὶ περὶ τῶν ζωὴν ἐχόντω ν , ὅτι μὴ πάντα τὰ ψυχὴν ἔχοντα ζῷα, εἴ γε ὥρισται τὸ ζῷον, ὡς ἐν τοῖς Περὶ ψυχῆς εἴρηται, αἰσθήσει. ἡ δὲ θρεπτικὴ ψυχὴ πρὸ τῆς αἰσθητικῆς οὖσα ἐν οἷς ἐστι μόνη, ταῦτα ἔμψυχα μέν ἐστι καὶ ζωὴν ἔχει, οὐ μὴν καὶ ζῷά ἐστιν· ὁποῖά ἐστι τὰ φυτά. λέγοι δ’ ἂν ζωὴν ἔχειν καὶ τὰ μόρια τῶν ζῴων. τίς δὲ ἡ περί τε τῶν ζῴων καὶ ἡ περὶ τῶν ζωὴν ἐχόντων πραγματεία, ἔδειξε διὰ τοῦ εἰπεῖν τίνες εἰσὶν ἴδιαι καὶ τίνες κοιναὶ πράξεις αὐτῶ ν .

in Sens.4 εἴη δ’ ἂν τὸ τίνες εἰσὶ ἴδιαι καὶ τίνες κοιναὶ ἴσον τῷ ‘περὶ τῶν ἰδίων καὶ τῶν κοινῶν‘· οὐ γὰρ διαίρεσιν αὐτῶν προτίθεται ποιήσασθαι, ἀλλ’ εἰπεῖν περὶ αὐτῶν. τῷ δὲ τῆς πράξεως ὀνόματι καὶ νῦν, ὥσπερ οὖν καὶ ἐν ἄλλοις εἴωθε, κοινότερον ἀντὶ τοῦ τῆς ἐνεργείας κέχρηται· κυρίως γὰρ πρᾶξις λογικὴ ἡ ἐνέργειά ἐστιν, ἧς οὐδὲν τῶν ἀλόγων οἷόν τε κοινωνεῖν. p. 436a5 Τὰ μὲν οὖν εἰρημένα περὶ ψυχῆ ς . Εἰρηκὼς ἀκολουθεῖν τοῖς περὶ ψυχῆς εἰρημένοις τὴν περί τε ζῴων καὶ τῶν ζωὴν ἐχόντων θεωρίαν (ἑκάστου δὲ τούτων δύναμις καὶ εἶδος ἡ ψυχή), καὶ διελὼν τὸν περὶ τούτων λόγον εἴς τε τὰς κοινὰς ἐνεργείας αὐτῶν καὶ εἰς τὰς ἰδίους, περὶ τῶν κοινῶν πρῶτον ἐνεργειῶν ἢ πάντων τῶν ἐμψύχων ἢ τῶν γε πλείστων ποιήσεται 〈τὸν λόγον〉, καὶ μετὰ τοῦτο περὶ τῶν ἰδίων ἐνεργειῶν ἑκάστου εἴδους ἐρεῖ ζῴων, πρῶτον περὶ ζῴων ἱστορήσας· χρήσιμος γὰρ ἡ περὶ ζῴων ἱστορία καὶ διαίρεσις πρὸς τὰς ἰδίας ἐνεργείας ἑκάστου τε εἴδους ζῴων καὶ τῶν μορίων αὐτῶν. αἱ γὰρ κοιναὶ τῶν ἐμψύχων ἐνέργειαι συνάπτουσί πως τῷ κοινῷ περὶ ψυχῆς λόγῳ· τίνες δέ εἰσιν αὗται, ἑξῆς ἐρεῖ. Ὅσα, φησίν, ἡμῖν περὶ ψυχῆς εἴρηται, ταῦτα κείσθω ὡς ἀρχαὶ τῶν μελλόντων λέγεσθαι. ὑποθέσεις γὰρ ἔθος τοῖς ἀνδράσι τὰς ἀρχὰς λέγειν τὰς ἀναποδείκτους, ἃς καὶ ἀξιώματα λέγουσιν. ὑποθέσεις δὲ λέγουσι καὶ ἃ ἔχοντα ἀπόδειξιν χωρὶς τῆς οἰκείας ἀποδείξεως λαμβάνουσί τε καὶ ὑποτίθενται, ὡς δείξοντες αὐτὰ ὕστερον, χρησόμενοι δὲ αὐτοῖς νῦν πρὸς ἄλλα ὡς ἀρχαῖς. 〈τὰ περὶ ψυχῆσ〉 οὖν, φησίν, εἰρημένα τε καὶ δεδειγμένα νῦν ὡς ὑποθέσεις καὶ ἀρχαὶ τῶν μελλόντων λέγεσθαι κείσθω. φθάνει γὰρ δεδεῖχθαι, καὶ οὐκέτι περὶ ἐκείνων νῦν ποιήσεται τὸν λόγον. Ὅτι δὲ περὶ ὧν προέθετο ὡς ἑπομένων τῇ περὶ ψυχῆς θεωρίᾳ εἰπεῖν λέγει, τοῦτο δέ ἐστι τὸ περὶ τῶν ἐνεργειῶν τῶν ζῴων τίνες εἰσὶ καὶ διὰ τί γίνονται θεωρῆσαι, ἀλλ’ οὐ προθέμενος περὶ ζῴων λέγειν πρῶτον περὶ ἄλλων τινῶν τὸν λόγον ποιεῖται, ὥς τινες ᾠήθησαν, νῦν μὲν περὶ αἰσθητηρίων τε καὶ αἰσθητῶν λέγων, μετὰ ταῦτα περὶ ζωῆς τε καὶ θανάτου καὶ ὕπνου καὶ ἐγρηγόρσεως καὶ τῆς καθ’ ὕπνον μαντικῆς, εἶθ’ ὕστερον περὶ ζῴων, ἀλλὰ καὶ ταῦτα τῆς προτεθείσης ἔχεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πραγματείας (ἔστι γὰρ τῶν κοινῶν τὰ μὲν τοῖς ζῴοις πᾶσι, τὰ δὲ καὶ τοῖς ζωὴν ἔχουσιν ὑπάρχοντα), αὐτὸς ἐδήλωσε δι’ ὧν ἐπιφέρει.

in Sens.5 εἰπὼν γὰρ τὰ μὲν εἰρημένα περὶ ψυχῆς ὑποκείσθ ω , περὶ δὲ τῶν λοιπῶ ν , φησί, λέγωμεν καὶ πρῶτον περὶ τῶν πρώτω ν , εἰπὼν ἐπιφέρει· φαίνεται δὲ τὰ μέγιστα καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τῶν ζῴων κοινὰ τῆς τε ψυχῆς ὄντα καὶ τοῦ σώματο ς . ἔστι δὲ ὃ λέγει ὅτι τὰ [μὲν] μέγιστα τῶν κατὰ τὰς τῶν ζῴων ἐνεργείας τάς τε κοινὰς αὐτῶν καὶ τὰς ἰδίας ἑκάστου γένους φαίνεται κοινὰ εἶναι ψυχῆς τε καὶ σώματος, καὶ οὐ τῆς ψυχῆς αὐτῆς καθ’ αὑτήν, δεικνὺς ἡμῖν ὅτι καὶ τὴν περὶ αὐτῶν θεωρίαν οὕτω χρὴ ποιεῖσθαι, συνεπισκεπτομένους καὶ τὰ τοῦ σώματος μόρια, ἐν οἷς καὶ δι’ ὧν αἱ τῶν ψυχὴν ἐχόντων ἐνέργειαι. ὅτι δὲ αἱ πλεῖσται τῶν ψυχικῶν ἐνεργειῶν διὰ σώματος καὶ ἐν τοῖς Περὶ ψυχῆς προείρηκε. Τίνα δέ ἐστι τὰ μέγιστά τε καὶ κοινὰ ἔργα τῆς ψυχῆς καὶ τοῦ σώματος, ἑξῆς λέγει. αἴσθησις γὰρ καὶ μνήμη καὶ θυμὸς καὶ ἐπιθυμία καὶ ὅλως ὄρεξις καὶ πρὸς τούτοις ἡδονὴ καὶ λύπη φανερώτατα μὲν καὶ τῶν ζῴων σχεδὸν ἁπάντων ἐστὶν ἔργα καὶ κοιναὶ ἐνέργειαι αὐτῶν. ἔστι δὲ ταῦτα πάντα κοινὰ ψυχῆς τε καὶ σώματος, περὶ ὧν τῶν μὲν πλείστων ἐν τοῖς Περὶ ψυχῆς προείρηται, περὶ δὲ ἐνίων ὕστερον ἐρεῖ. αἴσθησις μὲν οὖν καὶ ἐπιθυμία καὶ ἡδονὴ καὶ λύπη κοινὰ πάντων, θυμὸς δὲ καὶ μνήμη τῶν πλείστων. ἤρτηται δὲ ταῦτα πάντα τῆς αἰσθήσεως· ἥ τε γὰρ μνήμη, ὡς δείξει (ἐρεῖ δὲ περὶ μνήμης ἐν τοῖς ἑξῆς, οὐ γὰρ προείρηκέ πω), *** περί τε ὀρέξεως καὶ ἡδονῆς καὶ λύπης ὅτι ἕπεται ταῦτα τοῖς αἴσθησιν ἔχουσιν ἐν τοῖς Περὶ ψυχῆς δέδειχε. Πρὸς τούτοις δὲ ἄλλα τινά ἐστι τὰ μὲν πάντων τῶν ζωῆς μετεχόντων κοινά, τὰ δὲ τῶν ζῴων τὰ μὲν πάντων τὰ δὲ τῶν πλείστων, καὶ περὶ ὧν ἐφεξῆς τὴν θεωρίαν κατὰ τὴν πρόθεσιν ποιήσεται, ὁμοίως τοῖς εἰρημένοις κοινὰ ψυχῆς τε καὶ σώματός ἐστι.

in Sens.6 διὸ καὶ ἅμα περὶ ἑκατέρου αὐτῶν ποιήσεται τὸν λόγον. τίνα δέ ἐστιν αὐτὰ ἑξῆς ἐκτίθεται λέγων· τυγχάνουσι δὲ τούτων τὰ μέγιστα τέτταρες οὖσαι συζυγίαι τὸν ἀριθμό ν , καὶ καταριθμεῖται αὐτάς, περὶ ὧν μετὰ τὸν περὶ αἰσθητηρίων τε καὶ αἰσθητῶν λόγον τὴν θεωρίαν παραδίδωσι. πρῶτον δὲ περὶ τούτων λέγει, καὶ δι’ ἣν αἰτίαν ἐρεῖ. τὸ δὲ καὶ γὰρ ταῦτα σχεδὸν ὑπάρχει πᾶσι τοῖς ζῴοις εἶπε διὸ προσθήσει· οὐ γὰρ μόνον τάδε κοινά, ἀλλὰ κἀκεῖνα. λέγει δὲ φυσικοῦ εἶναι τὸ περὶ ὑγιείας καὶ νόσου τὰς πρώτας ἰδεῖν ἀρχά ς , τουτέστιν ἐκ τίνων πρώτων ἀρχῶν τε καὶ ἐν τίσι πρώτοις ἡ ὑγίεια καὶ ἡ νόσος, ὅτι ἐν συμμετρίᾳ τῶν πρώτων δυνάμεων, ξηρῶν ὑγρῶν, θερμῶν ψυχρῶν. καὶ ὅτι οἰκεία ἡ περὶ τούτων θεωρία τῇ περὶ ζῴων ἔδειξεν εἰπών· οὔτε γὰρ ὑγίειαν οὔτε νόσον οἷόν τε γίνεσθαι τοῖς ἐστερημένοις ζωῆ ς . Περὶ μὲν οὖν τῶν τεττάρων συζυγιῶν ὧν προείρηκε φέρεται ἐν τῇ πραγματείᾳ τῇ Φυσικῇ αὐτοῦ βιβλία, δι’ ὧν περὶ αὐτῶν ἐπραγματεύσατο, λέγω δὲ Περὶ ἐγρηγόρσεως καὶ ὕπνου καὶ νεότητος καὶ γήρως καὶ ἀναπνοῆς καὶ ζωῆς καὶ θανάτου· τὰ δὲ Περὶ ὑγιείας καὶ νόσου, εἰ ἐγένετο, οὐ σῴζεται. ἔστι δὲ καὶ τούτων κοινὰ μὲν πάντων τῶν ζῴων ἐγρήγορσις καὶ ὕπνος, εἰ μή που γένος ἰχθύων ἔστι τι ἄγρυπνον, ὃ ζητεῖ ἐν τῇ Περὶ ζῴων ἱστορίᾳ, ἡ δὲ νεότης καὶ τὸ γῆρας πάντων τῶν ζωῆς μετεχόντων κοινά, οὐ τῶν ζῴων μόνον (καὶ γὰρ ἐν τοῖς φυτοῖς ἥ τε νεότης καὶ τὸ γῆρας, ὥσπερ οὖν καὶ ἡ ζωὴ καὶ ὁ θάνατος), ἀναπνοὴ δὲ καὶ ἐκπνοὴ κοινὰ τοῖς πλείστοις τῶν ζῴων ὅσα πνεύμονα ἔχει. Ὅτι δὲ τὸ περὶ ὑγιείας τε καὶ νόσου τὰς πρώτας ἀρχὰς ἐπισκέψασθαι, τίνες εἰσί, τοῦ φυσικοῦ καὶ φιλοσόφου, συνίστησι καὶ ἐκ τοῦ τῶν τε φυσικῶν τοὺς πλείστους περὶ αὐτῶν πεποιῆσθαι λόγον καὶ ἐν τούτοις παύεσθαι τὴν φυσικὴν θεωρίαν καὶ τῶν ἰατρῶν τοὺς χαριεστάτους ἀπὸ τούτων τὴν ἀρχὴν τῆς τῶν ἰατρικῶν θεωρίας ποιεῖσθαι ὡς φυσικῶν ὄντων.

in Sens.7 ἅμα καὶ δείκνυσιν ἡμῖν, κατὰ τί συνῆπται ἡ ἰατρικὴ τῇ φυσικῇ, καὶ ὅτι ἔστιν ὑπὸ τὴν φυσικὴν τὰς ἀρχὰς παρ’ ἐκείνης ἔχουσα, ὡς ὀπτικὴ μὲν παρὰ γεωμετρίας, ἁρμονικὴ δὲ παρ’ ἀριθμητικῆς, κυβερνητικὴ δὲ παρὰ ἀστρολογίας. Ὅτι δὲ πάντα τὰ λεχθέντα κοινὰ τῆς ψυχῆς ἐστι καὶ τοῦ σώματο ς , προειπὼν τὸ φαίνεται δὲ τὰ μέγιστα καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τῶν ζῴων κοινὰ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχῆς ὄντα καὶ τοῦ σώματος καὶ μετὰ ταῦτά τινα ἐξ αὐτῶν τούτων παραθέμενος (ἦν δὲ ταῦτα αἴσθησις, μνήμη, θυμός, ἐπιθυμία, ἡδονή, λύπη), πρὸς δὲ τούτοις καὶ ἄλλα εἰπὼν εἶναι τὰ μὲν κοινὰ τῶν ζωὴν ἐχόντων πάντων τὰ δὲ ζῴων τινῶν, καὶ τὰ μέγιστα καὶ φανερώτατα τῶν κοινῶν ἐκθέμενος καὶ τὰς συζυγίας δείξας τὰς πέντε, περὶ ὧν καὶ ποιήσασθαι πρῶτον λόγον ἐπηγγείλατο, ἐπειδὴ καὶ κατὰ φύσιν ἐστὶ πρῶτα, ὅτι δὲ ταῦτα κοινὰ τῆς τε ψυχῆς ἐστι καὶ τοῦ σώματος δείκνυσι διὰ τοῦ μηδὲν αὐτῶν χωρὶς αἰσθήσεως γίνεσθαι. πάντα γὰρ μετ' αἰσθήσεως, τὰ δὲ μετ' αἰσθήσεως διὰ σώματος. ὅτι δὲ οὐδὲν αὐτῶν χωρὶς αἰσθήσεως δείκνυσι λέγων πάντα γὰρ τὰ μὲν με τ ' αἰσθήσεως συμβαίνε ι , τὰ δὲ δ ι ' αἰσθήσεω ς . ἐγρήγορσις μὲν γὰρ μετ' αἰσθήσεως, εἴ γε διακρινομένης τῆς τροφῆς καὶ τῶν αἰσθήσεων διεγειρομένων καὶ ἐξ ἀργίας εἰς ἐνέργειαν μεταβαλλουσῶν ἡ ἐγρήγορσις. ὁμοίως καὶ μετὰ αἰσθήσεως ἡδονή τε καὶ λύπη, ἔτι δὲ ὑγίειά τε καὶ νόσος. δι' αἰσθήσεως δὲ νεότης τε καὶ γῆρας· ἑκάτερον γὰρ τούτων ἐν τῷ πως ἔχειν τὰς αἰσθήσεις. Πάθος δὲ τῆς αἰσθήσεως ὕπνος ἂν εἴη· ταύτης γάρ τι πασχούσης ὁ ὕπνος· ἡ γὰρ ἐκ τῆς τροφῆς ἀναθυμίασις ὅταν ἐπὶ τὴν κεφαλὴν ἀθρόα ἀνενεχθεῖσα καὶ καταψυχθεῖσα ὑπὸ τῶν περὶ τὸν ἐγκέφαλον εἰς τὸ κάτω πάλιν, ὅθεν ἀνηνέχθη, κατενεχθῇ, βαρουμένη ἡ αἴσθησις ὑπὸ τῆς ἐν αὐτῇ ὑγρότητος αὐτή τε ἐμποδίζεται πρὸς τὸ ἐνεργεῖν καὶ ἡσυχάζει καὶ αἰτία τοῖς ζῴοις ὕπνου γίνεται.

in Sens.8 ἕξις δὲ ἡ αἴσθησις ἂν εἴη· ἐν γὰρ τῷ αἴσθησιν ἔχειν τὸ εἶναι τοῖς ζῴοις. φυλακαὶ δὲ καὶ σωτηρίαι αἱ μνῆμαι καὶ αἱ ἀναμνήσεις, φθοραὶ δὲ καὶ στερήσεις αἱ λῆθαί τε καὶ ὁ θάνατος. ὅτι μὲν οὖν μετ' αἰσθήσεως καὶ οὐκ ἄνευ αἰσθήσεως αἱ προειρημέναι συζυγίαι, διὰ τούτων γνώριμον. κοινότερον δ' ἂν λέγοιτο ἐπὶ τῶν φυτῶν τὸ γῆρας καὶ ἡ νεότης· ἡ δὲ ζωὴ καὶ ὁ θάνατος καὶ ἐν τοῖς οὐκ ἔχουσιν αἴσθησιν τῶν ἐμψύχων ἐστίν, ἀλλ' ἔν γε τοῖς ζῴοις καὶ ταῦτα μετ' αἰσθήσεως. Ὅτι δὲ ἡ αἴσθησις διὰ τοῦ σώματος γίνεται καὶ διὰ λόγο υ , φησί, γνώριμον καὶ χωρὶς τοῦ λόγου ἐναργές. καὶ γὰρ αὐτόθεν ἐναργὲς τὸ τὰς αἰσθήσεις διὰ σωματικῶν ὀργάνων γίνεσθαι, καὶ διὰ τοῦ λόγου ῥᾷον δεῖξαι· τὸ γὰρ αἰσθάνεσθαί ἐστι τὸ τῶν αἰσθητῶν ἀντιλαμβάνεσθαι διὰ τῶν αἰσθητηρίων, ἅ ἐστι σώματα. p. 436b8 Ἀλλὰ περὶ μὲν αἰσθήσεως καὶ τοῦ αἰσθάνεσθα ι , τί τέ ἐστι καὶ διὰ τί συμβαίνει τοῖς ζῴοις τοῦτο τὸ πάθο ς , εἴρηται πρότερον ἐν τοῖς Περὶ ψυχῆ ς . Δείξας ὅτι δι' αἰσθήσεως τὰ κοινὰ ἔργα τε καὶ πάθη τῶν ζῴων, ἔχων δὲ καὶ τὸ τὴν αἴσθησιν κοινὸν ἔργον εἶναι ψυχῆς τε καὶ σώματος, ἔχει μὲν ἑπόμενον τοῖς εἰρημένοις τὸ δεῖν περὶ αἰσθήσεως εἰπεῖν πρὸ τούτων ἃ δι' αἰσθήσεως ἢ μετὰ αἰσθήσεως ὑπὸ τῶν ζῴων γίνεται· πρῶτον γὰρ τῶν κοινῶν, οὗ τἆλλα προσδεῖται. ἐπεὶ δὲ τὰ μὲν εἴρηται περὶ αἰσθήσεως τὰ δὲ ῥηθήσεται, τῶν μὲν εἰρημένων ἡμᾶς ὑπομιμνῄσκει (εἴρηται δὲ ἐν τοῖς Περὶ ψυχῆς περὶ τῆς αἰσθητικῆς ψυχῆς καὶ δυνάμεως καὶ περὶ τῆς ἐνεργείας τῆς κατ' αὐτήν)· τούτων δὲ ὡς εἰρημένων καὶ ἐν οἷς εἴρηται ὑπομιμνῄσκει ἡμᾶς, προσθήσει δὲ νῦν τὸν περὶ τῶν αἰσθητηρίων λόγον (κοινὸν γὰρ ἦν ἡ αἴσθησις ψυχῆς τε καὶ σώματος, ὥστε ὁ περὶ τῶν αἰσθητηρίων λόγος τῷ περὶ αἰσθήσεως συνῆπται), ἔτι δὲ τὸν περὶ τῶν αἰσθητῶν, ἐπειδὴ περὶ ταῦτα ἡ τῆς αἰσθήσεως ἐνέργεια· περὶ ὧν καὶ αὐτῶν ἐπ' ὀλίγον μὲν προείρηται καὶ ἐν τοῖς Περὶ ψυχῆς, ἐπὶ πλέον δὲ καὶ ἀκριβέστερον νῦν ῥηθήσεται. ὑπομιμνῄσκει δὲ ἡμᾶς διὰ βραχέων τε καὶ σαφῶς τῶν περὶ αἰσθήσεως εἰρημένων τε καὶ δεδιδαγμένων ἐν τοῖς Περὶ ψυχῆς αὐτῷ, ὅτι πᾶσι μὲν τοῖς ζῴοις ἀνάγκη αἴσθησιν ἔχειν· ταύτῃ γὰρ τὰ ζῷα τῶν μὴ ζῴων χωρίζεται.

in Sens.9 ἔδειξε δὲ ἐκεῖ ὅτι ἁπτὰ ὄντα καὶ μὴ ἁπλᾶ ἀλλὰ σύνθετα καὶ ἐν συμμετρίᾳ τινὶ τῶν ὑποκειμένων τὸ εἶναι ἔχοντα, εἰ μὴ ἁπτόμενα ἦν καὶ αἰσθανόμενα ὡς φυλάσσεσθαι τὰ φθαρτικὰ αὐτῶν, ὑπὸ τῶν ὑπερβολῶν ἂν τῶν ἐν τοῖς ἁπτομένοις αὐτῶν ἐφθείρετο. πάθος δὲ τὴν αἴσθησιν εἶπεν, ὅτι αἰσθάνεσθαι διὰ πάθους. Οὐκέτι μέντοι ἐν πᾶσι τοῖς ζῴοις πᾶσαι αἱ αἰσθήσεις, ἀλλ' ἐν πᾶσι μὲν ἁφή τε καὶ γεῦσις. ἐδείχθη γὰρ ἐπὶ τέλει τοῦ τρίτου Περὶ ψυχῆς ὅτι τῆς ἁφῆς τὰ ζῷα στερηθέντα ἅμα καὶ τοῦ εἶναι παύεται (τῆς γὰρ μεσότητος καὶ συμμετρίας τῶν

σωμάτων, ἐν ᾗ τοῖς ζῴοις τὸ εἶναι, φθορά ἐστιν ἡ τῆς ἁφῆς φθορά), ἀλλὰ καὶ ὅτι ἡ γεῦσις τῆς τροφῆς οὖσα κριτική τε καὶ ληπτικὴ ἀναγκαία τοῖς ζῴοις, εἴγε χωρὶς τοῦ τρέφεσθαι ἀδύνατον αὐτὰ σῴζεσθαι. ἔστι γὰρ ὁ χυμὸς τοῦ γευστικοῦ μορίου τῶν ἐν ἡμῖν πάθος, τουτέστι τῆς γεύσεως. ἡ γὰρ γεῦσις, δι' οὗ τρεφόμεθα μόριον ἡμῶν οὖσα. τούτου ἀντιλαμβάνεται καὶ ὑπὸ τούτου πάσχει πως· τὸ γὰρ ἡδὺ διακρίνει ἡμῶν τὸ δι' οὗ γευόμεθα, ὅπερ ἐστὶν ἡ γλῶττα· αὕτη γὰρ ὑπὸ τοῦ χυμοῦ πάσχουσα αἰσθάνεται αὐτοῦ καὶ γεύεται. Εἰπὼν δὲ τὸ γὰρ ἡδὺ διακρίνει καὶ τὸ λυπηρὸν αὐτῇ περὶ τὴν τροφή ν , ὥστε τὸ μὲν φεύγειν τὸ δὲ διώκειν ἐπήνεγκε τὴν αἰτίαν ὅτι ὁ μὲν χυμό ς , οὗ αἰσθανόμεθα, πάθος ἐστὶ τοῦ γευστικοῦ μορίο υ . διὸ εὐλόγως ἡμῖν εἴρηται τὸ τὴν γεῦσιν τὸ ἡδὺ καὶ τὸ λυπηρὸν διακρίνειν τὸ ἐν τῇ τροφῇ ἐν τῷ πάσχειν· τὸ γὰρ γευστικόν, ὅ ἐστι μόριον ἡμῶν, ὑπὸ τοῦ γευστοῦ πάσχον τὸ ἡδὺ καὶ τὸ λυπηρὸν καὶ τὸ τρόφιμον καὶ μὴ διακρίνει. γράφεται καὶ ἀντὶ τοῦ γευστικοῦ μορίου ' ' τοῦ θρεπτικοῦ μορίου πάθοσ ' , καὶ οὕτως ἂν λέγοιτο τῆς θρεπτικῆς δυνάμεως τῆς ψυχῆς πάθος ὁ χυμὸς εἶναι, ὡς ὑπὸ τοῦ χυμοῦ πασχούσης τῆς δυνάμεως ταύτης. ἄτοπον δὲ τὸ λέγειν ὑπὸ χυμῶν πάσχειν τὴν θρεπτικὴν δύναμιν· τὸ μὲν γὰρ ὑπὸ χυμῶν πάσχειν τὸ αἰσθάνεσθαι χυμῶν ἐστι, τὸ δὲ θρεπτικὸν ἄλλο τοῦ αἰσθητικοῦ. διὸ ἄμεινον, εἰ οὕτως εἴη ἔχουσα ἡ γραφή, μὴ ἐπὶ τὴν δύναμιν τῆς ψυχῆς ἀναφέρειν τὸ θρεπτικόν, ὥς φησι δεῖν ἀκούειν τῆς λέξεως Ἀσπάσιος, ἀλλ' ἐπὶ τὸ μόριον δι' οὗ τρεφόμεθα (τούτου γὰρ ὁ χυμός), ἵν' ᾖ τοῦ τρέφειν δυναμένου μορίου πάθος τὸν χυμὸν λέγων, οὗ ἐστιν ἡ γεῦσις ἀντιληπτική.

in Sens.10 ἀμείνων δὲ ἡ πρότερον ῥηθεῖσα γραφή. γράφεται καὶ οὕτως· καὶ ὅλως ὁ χυμός ἐστι τοῦ γευστικοῦ θρεπτικοῦ μορίου πάθο ς . κἂν ᾖ οὕτως γεγραμμένον, εἴη ἂν τὸ λεγόμενον ὅτι τοῦ γευστικοῦ μορίου ὅ ἐστι θρεπτικὸν ὁ χυμὸς πάθος, ἵν' ᾖ τὸ μὲν γευστικὸν ὡς γένος, διαφορὰ δὲ τοῦ γευστικοῦ τὸ θρεπτικὸν καὶ μή. τοῦ δὴ γευστικοῦ θρεπτικοῦ, ὅ ἐστι μόριον ἢ εἶδος τοῦ γευστικοῦ, πάθος ἐστὶν ὁ χυμός, γευστικὸν δὲ ἡ αἴσθησις ἡ γευστική. καὶ εἴη ἂν αὕτη ἡ γραφὴ ἔχουσα ἀμφότερα τὰ εἰρημένα ἐν ταῖς πρὸ ταύτης δύο γραφαῖς. Ἡ μὲν οὖν ἁφή τε καὶ ἡ γεῦσις κοινὴ πᾶσι τοῖς ζῴοις· αἱ δὲ διά τινων μεταξὺ ἄλλων γινόμεναι αἰσθήσεις, οἷαί εἰσιν αἱ καταλειπόμεναι τρεῖς, οὐκέτι πάντων εἰσὶ κοιναὶ τῶν ζῴων, ὡς καὶ αὐτὸς ἐν τοῖς Περὶ ψυχῆς εἴρηκεν. ἐν οἷς μέντοι εἰσίν, ὥσπερ πρὸς σωτηρίαν αὐτοῖς συντελοῦσαί εἰσιν, ὡς καὶ τοῦτο ἐν τοῖς Περὶ ψυχῆς εἴρηκε. τῷ γὰρ κατὰ τόπον εἶναι κινητικὰ καὶ μεταβλητικὰ τῆς τε ὄψεως δεῖται, ὅπως φυλάττηται καὶ μὴ περιπίπτῃ τοῖς φθαρτικοῖς αὐτῶν, καὶ τῆς ὀσφρήσεως, ὅπως προαισθάνηται τῆς τροφῆς. ἀλλὰ καὶ ἡ τῶν ψόφων ἀντίληψις εἰς σωτηρίαν συντελεῖ· πολλοὶ γὰρ ψόφοι τῶν ζῴων εἰσὶ φθαρτικοί, οὓς φυλάσσεται. ἀλλὰ καὶ ἐπιβουλὰς τὰς ἐξ ἀλλήλων φυλάσσεται τὰ ζῷα διὰ τοῦ ψόφου προαισθανόμενα αὐτῶν, ὃν ποιεῖ ἢ προσιόντα ἢ ὑποχωροῦντα ἢ ὑφιστάμενα. ἀλλὰ καὶ τροφῆς εὐπορίαν πολλάκις τοῦ ψόφου σημήναντος· πολλὰ γοῦν τῶν σαρκοφάγων τῷ ψόφῳ διακρίνουσιν ἁλώσιμα αὐτοῖς ζῷα, καὶ οὕτως αὐτοῖς ἐπιτίθεται. Πᾶσαι μὲν οὖν αἱ αἰσθήσεις σωτηρίας ἕνεκα τοῖς ζῴοις ὑπάρχουσιν, ἤδη δὲ καὶ εἰς φρόνησίν τινες αὐτῶν συντελοῦσι τοῖς φρονήσεως δεκτικοῖς, ὡς μὴ μόνον τοῦ ἀναγκαίου χάριν αὐτὰς ἐν αὐτοῖς εἶναι, ἀλλὰ καὶ τοῦ εὖ. πολλὰς γά ρ , φησί, εἰσαγγέλλουσι διαφορά ς , ἐξ ὧν ἥ τε τῶν νοητῶν ἐπιγίνεται φρόνησις καὶ ἡ τῶν πρακτῶ ν .

in Sens.11 λέγει δὲ ταῦτα περί τε τῆς ὄψεως καὶ τῆς ἀκοῆς, ὡς καὶ αὐτὸς προϊὼν δηλοῖ. ὅτι δὲ ἀρχαὶ πράξεως τε καὶ θεωρίας αἱ δι' αὐτῶν ἀντιλήψεις καὶ διαφοραὶ τούτων ὧν ἀντιλαμβάνονται, δῆλον. αἵ τε γὰρ τῶν ὁρατῶν διαφοραὶ εἰς ἔννοιαν ἡμᾶς ἤγαγον φωτός τε καὶ σκότους, τουτέστιν ἡμέρας τε καὶ νυκτός, ἀφ' ὧν ὁρμώμενοι τὰ ποιητικὰ τούτων ἐζητήσαμεν· ὅθεν ἡ περὶ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ θεωρία, ἃ ποιητικὰ νυκτός τε καὶ ἡμέρας ἀνὰ μέρος ὁρῶντες γινόμενα καὶ ἀριθμοῦ ἐπίνοιαν ἔσχομεν, ὥς φησι Πλάτων· ἀλλὰ καὶ τὸ τὴν σελήνην μὴ ἀεὶ ὁμοίως πεφωτίσθαι εἰς ἔννοιαν ἡμᾶς ἤγαγεν, ὅτι μὴ οἰκεῖον αὐτῆς τὸ λαμπρὸν τοῦτο φῶς·

ἀλλὰ καὶ αἱ τῶν κινήσεων τῶν ἄστρων καὶ μεγεθῶν φαινόμεναι διαφοραί (καὶ γὰρ τούτων ἡ ὄψις ἀντιλαμβάνεται μάλιστα, εἰ καὶ κοινὰ αὐτῇ ταῦτα τὰ αἰσθητὰ καὶ πρὸς ἄλλας· πάντων γὰρ τῶν σωμάτων τὰ μεγέθη καὶ αἱ κινήσεις καὶ ὁ ἀριθμὸς καὶ τὰ σχήματα τῇ ὄψει αἰσθητά, ἐπεὶ καὶ ὁρᾶται πάντα τὰ σώματα τῷ κεχρῶσθαι. διὰ γὰρ τῶν ἰδίων αἰσθητῶν καὶ μετὰ τούτων ἡ τῶν κοινῶν αἴσθησις ἑκάστη γίνεται· διὸ ἡ ἀκοὴ τοῦ ἐν ψόφῳ μεγέθους μόνου αἰσθάνεται καὶ τοῦ ἐν τούτῳ ἀριθμοῦ καὶ τῆς ἐν τούτῳ κινήσεως, ὁμοίως δὲ καὶ τῶν ἄλλων αἰσθήσεων ἑκάστη) περί τε τῆς κατὰ κίνησιν ὁμαλότητος αὐτῶν εἰς ἔννοιαν ἡμᾶς ἤγαγε καὶ περὶ τῆς ἀιδιότητος αὐτῶν καὶ περὶ τοῦ μεγέθους τοῦ κατὰ ἀλήθειαν αὐτῶν ἐξετάσεως. προσήγαγε δὲ ἡμᾶς ἡ τούτων θέα καὶ ἐπὶ τὴν ζήτησιν τοῦ πρώτου αἰτίου, ὃ τῆς τοιαύτης τάξεως τε καὶ φορᾶς αὐτοῖς αἴτιόν ἐστι. καὶ πρὸς τὰς πράξεις δὲ ἡμᾶς παιδεύει πως· περὶ γὰρ τὰ καθ’ ἕκαστα αἱ πράξεις, ἅ ἐστιν αἰσθητά τε καὶ ὁρατά, ἐκ δὲ τῆς περὶ ταῦτα ἐμπειρίας τὸ πλεῖστον τῆς φρονήσεως. παρατηρήσαντες γὰρ ἐκ τῶν συμβαινόντων ἐν τοῖς αἰσθητοῖς τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ καθόλου περὶ αὐτῶν δόξαν λαμβάνομεν, τὰ μὲν τοιαῦτα λέγοντες εἶναι φευκτά τε καὶ βλαβερά, τὰ δὲ τοιαῦτα αἱρετά τε καὶ ὠφέλιμα· ἐξ ὧν τὸ βουλεύεσθαι ἡμῖν περὶ τῶν μελλόντων.

in Sens.12 ἀλλὰ καὶ ἡ τοῦ καλοῦ καὶ ἡ τοῦ αἰσχροῦ ἔννοια βεβαιοῦται ἡμῖν ὑπὸ τῆς ὄψεως· ὁρώμενα γὰρ τὰ αἰσχρὰ μισητότερα, καὶ τὰ καλά τε καὶ σεμνὰ ζηλωτότερα. ὅτι δὲ καὶ ἡ ἀκοὴ πρός τε πρᾶξιν καὶ θεωρίαν χρήσιμος, πρόδηλον, εἴγε ἀκούοντες μανθάνομεν τὰ κατὰ τὰς ἐπιστήμας. Συγκρίνων δὲ τήν τε ὄψιν καὶ τὴν ἀκοήν, ἃς καὶ πρὸς φρόνησιν εἶπε τοῖς φρονήσεως δεκτικοῖς συντελεῖν τήν τε πρακτικὴν καὶ τὴν θεωρητικήν, λέγει πρὸς μὲν τὰ ἀναγκαῖα χρησιμωτέραν τὴν ὄψιν εἶναι καθ’ αὑτήν (ὧν γάρ ἐστι καθ’ αὑτὴν ἀντιληπτική, ταῦτα πρὸς σωτηρίαν τοῖς ἔχουσιν αὐτήν ἐστι χρήσιμα· καὶ γὰρ ἃ δεῖ προφυλάξασθαι δείκνυσι, καὶ τίνα αἱρεῖσθαι δεῖ), πρὸς μέντοι τὴν ἐπιστήμην τὴν ἀκοήν φησι κατὰ συμβεβηκὸς πλέον συντελεῖν· διὰ γὰρ ταύτης αἱ μαθήσεις τε καὶ ἱστορίαι. κατὰ συμβεβηκὸς δὲ εἶπεν, ὅτι προηγουμένως μὲν ἡ ἀκοὴ ψόφων ἐστὶν ἀντιληπτική, κατὰ συμβεβηκὸς δὲ καὶ λόγων· ὅτι γὰρ καὶ ὁ λόγος ψόφος τίς ἐστι, [τούτων] ἀκοὴ ἀντιλαμβάνεται αὐτοῦ. Ὅτι δ’ ἡ μὲν ὄψις πρὸς τὰ ἀναγκαῖα χρησιμωτέρα καθ’ αὑτήν, ἡ δὲ ἀκοὴ πρὸς νοῦν καὶ φρόνησιν κατὰ συμβεβηκός, δείκνυσι διὰ τοῦ τὴν μὲν ὄψιν πολλὰς εἰσαγγέλλειν διαφορὰς τῷ πάντα τὰ σώματα μετὰ χρώματος εἶναι ὁρατά, μὴ εἶναι δὲ τὰ χρώματα καθ’ αὑτά. πάντα οὖν τὰ χρώματα ἡ ὄψις ὁρῶσα αἰτία γίνεται τοῦ τὰ μὲν οἰκεῖα αἱρεῖσθαι, τὰ δὲ ἀλλότρια φεύγειν τε καὶ ἀποστρέφεσθαι· πλεῖσται δὲ αἱ τῶν χρωμάτων διαφοραί. αἰσθανομένη δὲ πάντων τῶν σωμάτων τῷ κεχρῶσθαι αὐτὰ τῶν κοινῶν αἰσθητῶν μάλιστά ἐστιν αἰσθητική· μάλιστα γὰρ τοῖς σώμασι παρακολουθεῖ, ὧν αἰσθάνεται. μέγεθος γὰρ καὶ σχῆμα καὶ κίνησις καὶ ἀριθμὸς ἐν τούτοις πρώτως τε καὶ κυρίως. ἀπὸ γὰρ τῶν ἀριθμητῶν καὶ καὶ ἡ τοῦ ἀριθμοῦ ἐπίνοια, ἀριθμητὰ δὲ τὰ αἰσθητά, ἃ τῷ κεχωρισμένα ἀλλήλων ὁρᾶσθαι καὶ ἀριθμητά ἐστιν. ἡ δὲ αἴσθησις αὕτη καὶ μεγέθους καὶ κινήσεως καὶ σχήματος καὶ ἀριθμοῦ αἰσθάνεται διὰ τῆς τῶν χρωμάτων ἀντιλήψεως. πλείστας οὖν διαφορὰς ἡ ὄψις ἡμῖν μηνύει, ἐξ ὧν τὸ χρήσιμον ἡμῖν τὸ κατὰ τὰς αἱρέσεις μὲν τῶν ὠφελίμων φυγὰς δὲ τῶν βλαβερῶν περιγίνεται, οὐ τοῖς λογικοῖς μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ἔχουσιν αὐτήν.

in Sens.13 Ἡ δὲ ἀκοὴ διαφορῶν μὲν οὐ πολλῶν ἐστιν αἰσθητική· τὰς γὰρ τῶν ψόφων διαφορὰς διαγιγνώσκει καθ’ αὑτὴν μόνας, ὥστε τοῖς πλείστοις τῶν ἐχόντων αὐτὴν ὀλίγον παρέχεται τὸ χρήσιμον· τοῖς δὲ λογικοῖς καὶ λόγου αἴσθησίν τε καὶ σύνεσιν ἔχουσιν οὐ τὰς τῶν ψόφων μόνον διαφοράς, ἀλλ’ ἤδη καὶ τὰς τῆς φωνῆς σημαίνει. ἐπεὶ δὲ ὁ λόγος αἴτιος τῶν μαθήσεων ἀκουστὸς ὤν (ψόφος γὰρ καὶ αὐτὸς ἢ διὰ ψόφου· κατὰ συμβεβηκὸς γὰρ ἡ ἀκοὴ τοῦ λόγου αἰσθητική· οὐ γὰρ ὡς λόγου, ἀλλὰ ἐπεὶ συμβέβηκεν αὐτῷ ψόφῳ εἶναι), αἰτία ἡμῖν ἡ ἀκοὴ ἐπιστήμης τε καὶ θεωρίας γίνεται. διὰ τί δὲ γίνεται ἡ ἀκοή, τοῦ λόγου οὖσα ἀκουστική,

μαθήσεως ἡμῖν αἰτία, ἔδειξε· διὰ γὰρ τὸ τὸν λόγον ἐξ ὀνομάτων συγκεῖσθαι, τὰ δὲ ὀνόματα σύμβολά τινων εἶναι καὶ σημεῖα· φωναὶ γὰρ σημαντικαὶ τὰ ὀνόματα (ὀνόματα γὰρ καὶ τὰ ῥήματα λέγει νῦν), ὁ λόγος γὰρ ἐκ τούτων ἔχει τὴν σύνθεσιν. ὅτι δὲ κατὰ συμβεβηκὸς ἡ ἀκοὴ ἡμῖν αἰτία τοῦ ἀντιλαμβάνεσθαι λόγου, δῆλον ἐκ τοῦ τῶν μὴ ὁμοφώνων ἡμᾶς ἀκούειν μὲν ὁμοίως, ἀλλὰ μὴ ὡς λόγου τῶν λεγομένων συνιέναι· οὐ γὰρ ἐν τῷ ἀκούειν τὸ συνιέναι, ἀλλὰ διὰ τὸ ἀκούειν. εἴη δ' ἂν τὸ ἀκόλουθον τῆς λέξεως· 'ὁ γὰρ λόγος αἴτιος τῆς μαθήσεως, ὢν κατὰ συμβεβηκός, ἀλλ' οὐ καθ' αὑτὸν ἀκουστόσ'· οὐ γὰρ ᾗ λόγος ἀκουστὸς καθ' αὑτόν, ἀλλ' ᾗ ψόφος. Ὅτι δὲ πρὸς φρόνησιν καὶ ἐπὶ πλέον ἡ ἀκοὴ τῆς ὄψεως συντελεῖ, σημεῖον ἐτίθετο τὸ καὶ τῶν ἐστερημένων ἑκατέρας τῶν αἰσθήσεων τούτων ἐκ γενετῆς τοὺς τυφλοὺς τῶν κωφῶν 〈καὶ ἐνεῶν〉 φρονιμωτέρους εἶναι, ὡς τὴν τῆς φρονήσεως αἰτίαν ἔχοντας.

in Sens.14 λέγει δὲ [ἐννεοὺς] τοὺς μὴ δυναμένους τῇ ἀκοῇ κεχρῆσθαι κωφούς, 〈ἐνεοὺς δὲ τοὺς μὴ λαλοῦντασ〉 μηδὲ ἀκούοντας· ἀκόλουθον γὰρ κωφοῖς τε καὶ ἐνεοῖς εἶναι. εἴη δ' ἂν πρὸς μὲν τὴν ἐξ ἀρχῆς ζήτησιν καὶ αἴσθησιν τῶν ἐν θεωρίᾳ ἡ ὄψις συμβαλλομένη πλέον, πρὸς δὲ τὴν τῶν εὑρημένων μάθησιν ἡ ἀκοή. p. 437a17 Περὶ μὲν οὖν τῆς δυνάμεω ς , ἣν ἔχει τῶν αἰσθήσεων ἑκάστ η , πρότερον εἴρητα ι . Ὅτι δ' ἀναγκαῖος ὁ περὶ αἰσθήσεως λόγος τῷ περὶ τῶν κοινῶν ἐνεργειῶν τῶν ζῴων τὸν λόγον ποιουμένῳ, ἥτις θεωρία τῇ περὶ ψυχῆς συνῆπται, φανερόν. κοινότατόν τε γὰρ τοῖς ζῴοις πᾶσιν ἔργον τὸ αἰσθάνεσθαι, καὶ προσέτι καὶ τῶν ἄλλων ἕκαστον ἔργων τῶν κοινῶν δι' αἰσθήσεως ἢ μετ' αἰσθήσεως γινόμενον δέδεικται. ἀλλ' ἐπεὶ ἡ αἴσθησις, ὥσπερ οὖν καὶ τῶν ἄλλων ἐνεργειῶν αἱ πλεῖσται τῶν ὑπὸ τῶν ζῴων ἐνεργουμένων, κοινὴ σώματός τε καὶ ψυχῆς ἐστι, φθάνει δὲ περὶ τῆς αἰσθητικῆς δυνάμεως τῆς ψυχῆς ἐν τοῖς Περὶ ψυχῆς εἰρῆσθαι, τοῦτο μὲν ἡμᾶς ὑπομιμνήσκει τοῦ μὴ νῦν πάλιν περὶ τούτου λέγειν τὴν αἰτίαν ἀποδιδούς, περὶ δὲ τοῦ σώματος δι' οὗ ἡ αἴσθησις γίνεται (ἔστι δὲ τοῦτο τὰ αἰσθητήρια) νῦν προτίθησι. λέγει δέ τινας τῶν περὶ αἰσθήσεων εἰρηκότων ζητεῖν ἑκάστην αἴσθησιν ἐξ ἑκάστου τῶν σωματικῶν στοιχείων ποιεῖν, καὶ [πέντε τῶν αἰσθήσεων οὐσῶν] οὐκ εὐποροῦντας συνάγειν εἰς τέσσαρα στοιχεῖα πέντε οὔσας αὐτὰς ζητεῖν περὶ τῆς πέμπτη ς , ἐκ τίνος αὐτὴν χρὴ λέγειν εἶναι σώματος. λέγοιτο δ' ἂν τοῦτο περὶ τῆς ἐν τῷ Τιμαίῳ δόξης, ἥτις ἀναφέρεται μὲν εἰς τοὺς Πυθαγορείους, εἴρηται δ' ἐν τῷ Τιμαίῳ. ἐκεῖ γὰρ τὴν ὄσφρησιν ὁ Τίμαιός φησι καὶ τὸ τῶν ὀσμῶν γένος ἡμιγενὲς εἶναι καὶ μικτόν πως· 'μεταβάλλοντος γὰρ ὕδατος εἰς ἀέρα ἢ ἀέρος εἰς ὕδωρ ἐν τῷ μεταξὺ τούτων", φησί, "γεγόνασι.

in Sens.15 " καὶ εἴη ἂν ἡ ὄσφρησις αὕτη 〈ἡ〉 πέμπτη 'περὶ ἧς ἐγλίχοντο'. τῶν γὰρ ἄλλων πυρὸς μὲν τὴν ὄψιν ἐποίουν, ἀέρος δὲ τὴν ἀκοὴν καὶ τὴν γεῦσιν ὕδατος, τὴν δὲ ἁφὴν γῆς. Πλὴν τὴν ὄψιν φησὶ ποιεῖν ἐκ πυρὸς πάντας, ἤτοι τοὺς εἰς τὰ στοιχεῖα ἀνάγοντας τὰ αἰσθητήρια ἢ καὶ τοὺς ἄλλως περὶ τούτων εἰπόντας· καὶ γὰρ πάντες ἁπλῶς πυρὸς εἶναι εἶπον, Δημόκριτος δὲ ἐξ ὕδατος. ἢ τὸ πάντες ἀντὶ τοῦ πάντως. ἤτοι εἴρηκεν οἱ πάντα τὰ αἰσθητήρια *** , ὡς εἶναι τὸ πάντες ἀντὶ τοῦ πάντες πάντα. καὶ ὅθεν ὁρμηθέντες ὑπολαμβάνουσι τὴν ὄψιν πυρὸς εἶναι, λέγει· διὰ τὸ πάθους τινὸς γινομένου περὶ τὴν ὄψιν ἀγνοεῖν τὴν αἰτία ν . τὸ δὲ πάθος, οὗ τὴν αἰτίαν ἀγνοοῦσι καὶ ἐπὶ τούτῳ ἐκ πυρὸς αὐτὴν εἶναί φασιν, ἐπιφέρει· θλιβομένου γὰρ καὶ κινουμένου τοῦ ὀφθαλμοῦ φαίνεται πῦρ ἐκλάμπει ν . Τὸ γινόμενον καὶ τὸ ἀναπεῖσαν αὐτοὺς ἐκ πυρὸς λέγειν προθεὶς προστίθησι καὶ τὸ χρήσιμον αὐτῷ εἰς τὸ δεῖξαι ὅτι μὴ διὰ τὸ εἶναι ἐκ πυρὸς ἡ ὄψις διὰ τοῦτο λάμπει. λέγει γάρ· τοῦτο δὲ ἐν τῷ σκότει πέφυκε συμβαίνειν ἢ τῶν βλεφάρων ἐπικεκαλυμμένων · γίνεται γὰρ καὶ τότε σκότο ς .

in Sens.16 πῶς οὖν αὐτῷ τὸ ἐν τῷ σκότει τοῦτο γίνεσθαι περὶ τὴν ὄψιν χρήσιμον, προελθὼν ὀλίγον ἐρεῖ· τὰ γὰρ λεῖα πέφυκεν ἐν τῷ σκότει λάμπει ν . Τὸ δὲ θλιβομένου τοῦ ὀφθαλμοῦ φαίνεσθαι πῦρ ἐκλάμπειν ἐξ αὐτοῦ φησιν ἔχειν καὶ ἑτέραν ἀπορίαν, ὡς καὶ τοῦ προειρημένου ἀπορίαν παρέξοντος τοῖς μὴ λέγουσιν ἐκ πυρὸς τὴν ὄψιν εἶναι ἢ τὴν ἀρχὴν διὰ τὴν ἀπορίαν ταύτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατενεχθέντων τινῶν ἐπὶ τὸ ἐκ πυρὸς λέγειν τὴν ὄψιν εἶναι· ὡς γὰρ λυτικὸν τοῦ ἀπορουμένου τοῦτο φέρουσιν. ἀπορεῖται γὰρ τί αἴτιον τοῦ δοκεῖν ἐν τῇ θλίψει τοῦ ὀφθαλμοῦ πῦρ ἐκλάμπειν. ἔστι δὲ ἣν προστίθησιν ἀπορία αὕτη, εἰ μὴ ἔστι λανθάνειν αὑτὸν αἰσθανόμενον καὶ ὁρῶντ α , ὡς δοκεῖν μὲν ὁρᾶν, μηδὲν δὲ ὁρᾶν ὁρώμενον. ἂν γὰρ ἡ ὄψις τότε ὁρᾷ τι, δῆλον ὅτι ἑαυτὴν ὁρᾷ· οὐ γὰρ δὴ ἄλλο γέ τί ἐστι τότε ὁρώμενον ὑπ’ αὐτῆς. εἰ δὲ αὐτὴ ἑαυτὴν ὁρᾷ, ἀπορήσαι ἄν τις διὰ τί ἠρεμοῦσα καὶ μὴ θλιβομένη ἑαυτὴν οὐχ ὁρᾷ, καὶ ἔτι μᾶλλον πῶς ἑαυτήν· οὐ γὰρ αἰσθάνεται τὰ αἰσθητήρια, εἰ μὴ αἴσθησις πρός τι καὶ ἄλλου τινός. Προαπορήσας δὲ τῷ ἑξῆς λύσιν ἀμφοτέρων πειρᾶται, τήν τε τοῦ δοκεῖν πῦρ εἶναι τὴν ὄψιν καὶ τὴν τοῦ αὑτὴν ὁρᾶν, ὅταν θλίβηται καὶ παράγηται, ἠρεμοῦσαν δὲ μηκέτι. τὸ δὲ αἴτιον τούτου τε καὶ τοῦ ἠρεμοῦντι τῷ ὀφθαλμῷ μὴ συμβαίνειν τοῦτο καὶ τῆς ἀπορίας καὶ τῆς διὰ τί θλιβομένη ἡ ὄψις αὑτὴν ὁρᾷ, ἠρεμοῦσα δὲ οὔ, καὶ ὅλως τοῦ δοκεῖν πῦρ εἶναι τὴν ὄψιν ἐντεῦθεν ληπτέον.

in Sens.17 καὶ λέγει, λύων τὰ εἰρημένα, ὅτι τὰ λεῖα πέφυκεν ἐν τῷ σκότει λάμπει ν , οὐ μέντοι γε φῶς ποιεῖν · ὃ καὶ φθάνει εἰρηκέναι καὶ ἐν τοῖς Περὶ ψυχῆς. ὅσα γὰρ αὐτὰ μὲν σκότου ὄντος ὁρῶμεν, οὐ μέντοι δι’ αὐτὰ καὶ ἄλλα, ταῦτά ἐστιν ἃ στίλβει μέν, φῶς δὲ οὐ ποιεῖ. τοιοῦτον δὲ καὶ τὸ τοῦ ὀφθαλμοῦ μέλαν καὶ μέσο ν , ὃ κόρην καλοῦμεν, λεῖόν τε καὶ διὰ τὴν λειότητα στίλβον. τῷ μὲν οὖν στίλβειν σκότους καὶ αὐτό, ὡς τὰ λεῖα, ὁρατόν ἐστι σκότους· διὸ καὶ ὁρᾶται τότε. προεῖπε γὰρ ὅτι τοῦτο δὲ ἐν τῷ σκότει πέφυκε συμβαίνειν ἢ τῶν βλεφάρων ἐπικεκαλυμμένων · γίνεται γὰρ καὶ τότε σκότο ς . Κινουμένου δὲ τοῦ ὀφθαλμοῦ τοῦτο συμβαίνει, ἀλλ’ οὐκ ἠρεμοῦντος, ὅτι ἡ αἴσθησις τῶν πρός τί ἐστι καὶ πρὸς ἄλλο. ἕως μὲν οὖν ἂν ἠρεμῇ ἐπιμύουσα, μία ἐστὶ καὶ οὐδὲν ὁρᾷ· ὅταν δὲ θλίβηται καὶ κινῆται, ἐν τῇ ταχείᾳ παραγωγῇ μία οὖσα δύο πως γίνεται, ὁρωμένη τε καὶ ὁρῶσα, ὁρωμένη μὲν ἐν τῇ παραγωγῇ, ὁρῶσα δὲ ἐν τῇ εἰς τὸ κατὰ φύσιν ἐπανόδῳ. στίλβει μὲν γὰρ καὶ παραγομένη, καὶ ἔστιν ὅσον ἐπὶ τούτῳ ὁρατὸν τότε, οὐχ ὁρᾷ δέ, ὅτι μία ἐστὶ καὶ αὐτή ἐστι δι’ ἧς ὁρῶμεν, ἀλλ’ οὐχ ἣν ὁρῶμεν. ὅταν δὲ ταχέως κινηθῇ παραχθεῖσα καὶ ἐπανελθοῦσα εἰς τὴν αὑτῆς χώραν, διὰ τὸ τάχος καὶ ὁρῶσα καὶ ὁρωμένη γίνεται, καταλαμβάνουσα τὴν ἐν τῇ παραγωγῇ στιλβηδόνα, ἣν ἐποίησεν αὐτὴ παραχθεῖσα πρὸ τοῦ παύσασθαι διὰ τὸ τάχος τῆς κινήσεως, καὶ ὁρῶσα ὡς ἀπ’ ἄλλου τινὸς γινομένην. καὶ γὰρ ἑώρα 〈ἄν〉 , εἰ ἦν ἀπ’ ἄλλου καὶ μὴ ἀπ’ αὑτῆς· ἦν δ’ ἂν τοῦτο, εἰ αὐτῆς κατὰ χώραν μενούσης ἄλλο τι ἦν στίλβον ἐνταῦθα κείμενον, εἰς ὃ αὐτὴ παρήχθη *** τὴν ἀπ’ αὑτῆς στιλβηδόνα ἐπιμύουσα οὖσαν ἐντὸς τῶν βλεφάρων ἑώρα ἄν (οὐ γὰρ δὴ φωτὸς χρεία πρὸς τὴν τῶν στιλβόντων ὄψιν, ἀλλ’ ἱκανὰ αὐτὰ τὴν αἰτίαν αὑτοῖς τὰ τοιαῦτα τοῦ ὁρᾶσθαι παρέχειν, ἂν ᾖ μόνον ἐν διαφανεῖ).

in Sens.18 ταύτην δή, ἐπεὶ μὴ ἀπ’ ἄλλου ἐστὶν ἀλλ’ ἀφ’ αὑτῆς, ἀεὶ μὲν ἐπιμύουσα οὐχ ὁρᾷ· ὅταν δὲ οὕτως κινηθῇ, ὡς γίνεσθαι τρόπον τινὰ διὰ τὸ τάχος τῆς κινήσεως δύο σημεῖα, 〈ἐπεὶ〉 ἔστι διαφανὲς καὶ ἐντὸς τοῦ ὀφθαλμοῦ, διὰ τοῦτο στίλβουσα ὁρᾶται. Τί δή ποτ’ οὖν τὸ μέσον τοῦ ὀφθαλμοῦ, περὶ οὗ λέγει ὅτι 〈λάμπει〉 , οὐχ ὁρᾶται νυκτὸς καὶ ὑπὸ τῶν εἰς αὐτὸ ἀποβλεπόντων, ὥσπερ τὰ ἄλλα τὰ στίλβοντα, ὧν ἔνια καὶ αὐτὸς παρατίθεται ( κεφαλαὶ γὰρ ἰχθύων τινῶν καὶ ὁ τῆς σηπίας θολό ς , ἀλλὰ καὶ ὀφθαλμοὶ λεόντων καὶ λαγωῶν δὲ καὶ ἄλλων τινῶν ζῴων, τούτων δέ ἐστι καὶ ἡ πυγολαμπίς); ἢ αἰτιατέον τούτου τὸ ἐπικείμενον δέρμα· ἐπισκοτεῖ γὰρ ὁ ὑμὴν οὗτος τῇ κόρῃ στιλβούσῃ πρὸς τὸ 〈μὴ〉 ὑπὸ τῶν ἔξωθεν ὁρᾶσθαι. οὐ γὰρ ὅμοιος πάντων τῶν ὀφθαλμῶν ὁ ἐπικείμενος ὑμὴν αὐτοῖς· ἀλλ’ οὐδὲ ἡ στιλβηδὼν ὁμοία τῶν λείων πάντων. τὰ μὲν οὖν ἄλλα τὰ λεγόμενα εὔλογα, ἴσως δ’ ἐκεῖνο δυσπαράδεκτόν τισι δόξει τὸ δύνασθαι αὐτὸν 〈καὶ〉 ὁρῶντα καὶ ὁρώμενον γίνεσθαι διὰ τὸ τάχος τῆς παραγωγῆς ὡς ἄλλον γινόμενον καὶ ἄλλον. εἰ μὲν γὰρ ὑπομένειν ἐδύνατο κἂν ἐπ’ ὀλίγον ἡ στιλβηδὼν ἡ ἐπὶ τῇ παραγωγῇ γενομένη καὶ ἄλλο τι μόριον ἀπὸ τῆς κόρης ἔν τινι ἄλλῳ γινομένη ἐστὶ τὸ διαφανές, ἦν πιθανὸν τὸ ἐν τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκείᾳ χώρᾳ γενομένην τὴν ὄψιν καταλαμβάνουσαν ἔτι τὸ αὐτῇ πάθος ἐγγινόμενον ἐκεῖ ἔνθα παρήχθη ὁρᾶν.

in Sens.19 ἐπεὶ δὲ τοῦτο ἀδύνατον (οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων τῶν στιλβόντων τοιοῦτον γίνεται, ἀλλ' ἅμα τῷ παρενεχθῆναι τὸ στίλβον καὶ ἡ ἀπ' αὐτῶν παύεται στιλβηδών· οὐ μόνον γὰρ τοῦτο ἐπὶ τῶν στιλβόντων, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν ὁρωμένων γίνεται, τῷ μηδὲν χρῶμα τὸ διαφανὲς παθητικῶς ἐν αὑτῷ δέχεσθαι, ὅτι μηδὲ τὴν ἀρχὴν τὸ φῶς· καὶ γὰρ ἐκεῖνο ἐκ 〈στὰν〉 τοῦ διαφανοῦς συμπαύεται τῷ φωτίζειν πεφυκότι), εἰ δὲ ἐπὶ πάντων οὕτω, πῶς ἂν ἡ κόρη ἐν τῷ κατὰ φύσιν γινομένη, εἰ καὶ ταχέως κινηθείη, δύναιτο καταλαμβάνειν τὸ στίλβον ὃ ἐν αὐτῇ ἐστι καὶ συμμεταφέρεται αὐτῇ; ὡς γὰρ οὐ δύναται ἅμα καὶ ἐν τῇ οἰκείᾳ χώρᾳ εἶναι καὶ μὴ εἶναι, κἂν ταχέως κινῆται, οὕτως τὴν στιλβηδόνα τὴν ἀπ' αὐτῆς ὁρᾶν ὡς οὖσαν κατ' ἄλλο. μήποτ' οὖν οὐχ οὕτω χρὴ δύο γίνεσθαι τὴν ὄψιν ὑπολαμβάνειν ἐν τῇ κινήσει, ὡς δύο ὁλοκλήρων γινομένων καὶ τοῦ αὐτοῦ κατὰ τὸ αὐτὸ ὁρῶντός τε ἅμα καὶ ὁρωμένου, μορίου δὲ ὁρωμένου. ὅταν γὰρ οὕτω παραχθῇ, ὡς μήτε τῆς οἰκείας χώρας πάντη ἔξω εἶναι πᾶσα μήτε πάντη μένειν κατὰ φύσιν ἔχουσα (παρήχθη δὲ ἐπί τι οὕτως, ὡς τὸ καταλειπόμενον ὑπ' αὐτῆς ἐν τῇ οἰκείᾳ χώρᾳ ὁρᾶν ἔτι δύνασθαι, τῷ ἐπ' εὐθείας εἶναι τοῖς φλεβίοις, δι' ὧν ἐγένετο τὴν κατὰ τὸ ὁρᾶν γινομένην κίνησιν διαπέμπειν ἐπὶ τὴν πρώτην αἴσθησιν τὴν στιλβηδόνα τὴν ἐπὶ τοῦ παραχθέντος μέρους ὡς ἀπ' ἄλλου τινὸς γινομένην), ὁρᾷ τὸ μέρος τὸ αὑτῆς ὡς ἄλλο, τῷ ὁρατὸν ἐν τῷ παρὰ φύσιν αὐτὸ γινόμενον τόπῳ ἀντὶ ὁρῶντος γεγονέναι. τοιοῦτον γὰρ καὶ τὸ ὁρώμενόν ἐστι τότε· οὐ γὰρ ὁλόκληρός τις ἡ ὄψις γίνεται. δύναται δὲ καὶ πᾶσα μὲν παρῆχθαι· ἐν δὲ τῇ εἰς τὸ κατὰ φύσιν ἐπανόδῳ τὸ φθάσαν μόριον αὐτῆς [οὗ] ἐπανεληλυθέναι τὸ [γὰρ] καταλειπόμενον ἔτι καὶ ἐν τῇ παραγωγῇ ὂν ὁρᾷ· οὐ γὰρ ἀμέγεθες σῶμα δι' οὗ ὁρῶμεν.

in Sens.20 τοῦτο δὲ καὶ τοῦ πῦρ εἶναι αὐτὴν δόξαι τισὶν αἴτιον. ὅτι γὰρ τὸ πῦρ στίλβει, ὑπέλαβον καὶ πᾶν τὸ στίλβον πῦρ εἶναι, φανερῶς κατὰ τὴν ἀντιστροφὴν διαμαρτάνοντες· πολλὰ γὰρ στίλβει οὐκ ὄντα πῦρ, ὡς τὰ πρὸ ὀλίγου εἰρημένα. Τὸ δὲ ἐκείνως δὲ αὐτὸς αὑτὸν ὁρᾷ ὁ ὀφθαλμὸς ὥσπερ καὶ ἐν τῇ ἀνακλάσει ἴσον ἐστὶ τῷ 'οὕτω δὲ ἐν τῇ τοιαύτῃ κινήσει καὶ θλίψει τοῦ ὀφθαλμοῦ αὐτὸς αὑτὸν ὁρᾷ ὁ ὀφθαλμός, ὥσπερ καὶ ἐν τοῖς κατόπτροις καὶ ἐν πᾶσιν, ἐν οἷς κατὰ ἀνάκλασιν αὑτὸν ὁρᾷ.' καὶ γὰρ ἐπ' ἐκείνων ὥσπερ δύο ὁ εἷς γίνεται, ὁ μὲν κατὰ τὴν ἔμφασίν τε καὶ ὁρώμενος ἐν τῷ κατόπτρῳ, ὁ δὲ ἀφ' οὗ ἡ ἔμφασις, ὅς ἐστιν ὁ ὁρῶν. ὅτι δὲ ὁρᾷ ὁ ὀφθαλμὸς καὶ μὴ πάντη ὢν ἐν τῇ αὑτοῦ χώρᾳ, δηλοῦσιν οἱ τὴν ὄψιν διάστροφοι. p. 437b10 Ἐπε ί , εἴ γε πῦρ ἦ ν , καθάπερ Ἐμπεδοκλῆς φησιν καὶ ἐν τῷ Τιμαίῳ γέγραπτα ι . Δείξας τοῦ γινομένου πάθους ἐν τῇ τοῦ ὀφθαλμοῦ θλίψει τὴν αἰτίαν, ὑφ' οὗ πάθους ἀνεπείσθησάν τινες ἐκ πυρὸς εἶναι τὴν ὄψιν λέγειν, νῦν ὅτι μὴ οἷόν τε αὐτὴν εἶναι ἐκ πυρὸς δείκνυσιν ἀντιλέγων Ἐμπεδοκλεῖ τε καὶ Πλάτωνι, οἳ ταύτης ἐγένοντο τῆς δόξης καί φασιν ἐκ πυρὸς οὖσαν αὐτήν, τῷ ἐκπέμπειν ἐξ αὑτῆς φῶς, ὡς ἀπὸ τῶν λαμπτήρων φῶς ἐκπέμπεται, οὕτως ὁρᾶν. εἰ γὰρ οὕτως τὸ ὁρᾶν γίνεται, διὰ τί, φησίν, οὐχὶ καὶ ἐν τῷ σκότει ἡ ὄψις ὁρᾷ, εἴγε ἐν τῷ φωτὶ μὲν ὁρᾷ, φῶς δὲ αὐτὴ ἑαυτῇ παρεῖχεν ἐκπέμπουσα ἐξ αὑτῆς; Εἰπὼν δὲ τοῦτο, ἣν αἰτίαν ὁ Πλάτων τοῦ μὴ δύνασθαι τὴν ὄψιν ὁρᾶν ἐν τῷ σκότει φέρει, ταύτην δείκνυσιν οὖσαν κενήν. λέγει γὰρ τὸ φῶς τοῦτο τὸ ἀπὸ τῆς ὄψεως ἐξιόν, ὅταν μὲν φωτὸς ὄντος ἐξίῃ, σῴζεσθαί τε καὶ μιγνύμενον συγγενεῖ ὄντι τῷ ἐκτὸς φωτὶ αἴτιον ἡμῖν γίνεσθαι τοῦ ὁρᾶν, ὅταν δὲ σκότος ᾖ, πρὸς ἀνόμοιον τὸ περιέχον ἐκπῖπτον ἀποσβέννυσθαι.

in Sens.21 ἡ δὲ λέξις ἡ ἐκ τοῦ Τιμαίου δι' ἧς ταῦτα λέγει αὕτη· "τοῦ πυρὸς ὅσον τὸ μὲν καίειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον οἰκεῖον ἑκάστης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίνεσθαι. τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν τούτου πῦρ εἰλικρινὲς ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον μὲν καὶ πυκνὸν ὅλον μέν, μάλιστα δὲ τὸ μέσον συμπιλήσαντες τῶν ὀμμάτων, ὥστε τὸ μὲν ἄλλο ὅσον παχύτερον στέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον αὐτὸ καθαρὸν 〈διηθεῖν〉. ὅταν οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεθημερινὸν ᾖ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότε ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον, ξυμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν ξυνέστη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃπερ ἂν ἀντερείδῃ τὸ προσπῖπτον ἔνδοθεν πρὸς ὃ τῶν ἔξωθεν συνήντησεν. ὁμοιοπαθὲς δὴ δι' ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφάπτηται καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτου τὰς κινήσεις διαδιδὸν εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ᾗ δὴ ὁρᾶν ἔφαμεν, ἀπελθόντος δὲ εἰς νύκτα τοῦ συγγενοῦς πυρὸς ἀποτέμνεται. πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦται αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γινόμενον ἅτε πῦρ οὐκ ἔχοντι· παύεται οὖν ὁρῶν, ἔτι δὲ ἐπαγωγὸν ὕπνου γίνεται". ὅτι δὲ τοῦτο κενῶς λέγεται τὸ ὑπὸ τοῦ σκότους ἀποσβέννυσθαι τὸ ἐξιὸν ἀπὸ τῶν ὀφθαλμῶν φῶς, δείκνυσι. τίς γὰρ ὅλως ἐστὶν ἀπόσβεσις φωτό ς ; τὸ γὰρ θερμόν τε καὶ ξηρόν, τουτέστι τὸ πῦρ, πέφυκεν ἀποσβέννυσθαι ὑπὸ τοῦ ὑγροῦ τε καὶ ψυχροῦ, ὥσπερ ὁρῶμεν τὸ ἐν τοῖς ἄνθραξι καὶ ξύλοις πῦρ καὶ τὴν φλόγα· ὧν τῷ φωτὶ οὐδέτερον ὑπάρχειν φησί, τὸ ἀνθρακῶδες πῦρ ἢ φλόγα εἶναι. εἰ δὲ τοῦτο, οὐδ' ἂν ἀποσβεννύοιτο ὑπὸ τοῦ ψυχροῦ ἢ τοῦ ὑγροῦ. ἢ οὐδέτερον ὑπάρχειν τῷ φωτί φησι τῶν οἷς τὸ πῦρ σβέννυται· οὔτε γὰρ ὑπὸ τοῦ ὑγροῦ οὔτε ὑπὸ τοῦ ψυχροῦ σβέννυται.

in Sens.22 ἢ μᾶλλον ἡ γραφή ἐστι τοιαύτη· 'οἷον δοκεῖ τὸ ἐν τοῖς ἀνθρακώδεσιν εἶναι πῦρ καὶ ἡ φλὸξ ἐν τῷ φωτί. οὐδέτερον δὲ φαίνεται ὑπάρχον περὶ τὸ σκότος. τοῦτο γὰρ οὔτε ὑγρὸν οὔτε ψυχρόν, οἷς ἀποσβέννυται'. ᾧ καὶ τὸ ἐπιφερόμενον ἀκόλουθόν ἐστιν. p. 437b19 Εἰ δ ' ἄρα ὑπάρχει μέ ν , ἀλλὰ διὰ τὸ ἠρέμα λανθάνε ι . Εἰ γάρ τις λέγει 'ὑπάρχει μὲν τῷ σκότει ἢ ἄμφω ταῦτα ἢ τὸ ἕτερον, διὰ δὲ τὸ ἠρέμα αὐτῷ ὑπάρχειν ἡμᾶς μὲν λανθάνει, σβέννυσι μέντοι τὸ φῶς τῇ ἐνούσῃ μὲν ἐν αὐτῷ δυνάμει, ἡμῖν δὲ ἀδήλῳ ὡς ἂν λεπτὸν ὂν καὶ εὐπαθές', ἔδει τούτῳ τῷ λόγῳ μεθ' ἡμέραν ἀποσβέννυσθαι ὑπὸ τούτων, ὑφ' ὧν καὶ τὸ ἰσχυρότερον, φλόξ, ἀποσβέννυται, ἔν τε τῷ ὕδατι διὰ τὴν ὑγρότητα καὶ ἐν τοῖς πάγοις διὰ τὴν ψυχρότητα, ὡς γίνεσθαι ἐν τοῖς πάγοις σκότος· τὸ γοῦν ἐν τοῖς ἄνθραξι πῦρ καὶ ἡ φλὸξ ταῦτα πάσχοντα ὁρᾶται. οὐδὲν δὲ τοιοῦτον ὁρῶμεν γινόμενον. εἰ δὲ ὑπὸ τούτων μὴ ἀποσβέννυται τὸ φῶς, οὐδ' ἂν ἐν τῷ σκότει τὸ ἐκ τῶν ὀφθαλμῶν ἐκπεμπόμενον ἀποσβεννύοιτο. εἰ δὲ μὴ σβεννυμένου αὐτοῦ ἔδει ὁρᾶν ἡμᾶς, εἰ ἐξεπέμπετο, οὐχ ὁρῶμεν δέ, οὐδ' ἂν ἐκπέμποιτο τὴν ἀρχήν, ὡς ὁ Τίμαιος λέγει. ὅτι δὲ μή ἐστι τὸ σκότος ὑγρὸν καὶ ψυχρόν, ἅπερ ἐστὶ σβεστικὰ πυρός, καὶ ἐντεῦθεν δῆλον· γίνεται γὰρ καὶ ἐν τοῖς ξηροῖς καὶ θερμοῖς τόποις, οὐ μόνον ἐν τοῖς ἀντικειμένοις. ἔτι εἰ ἦν τῷ ἐκπέμπειν φῶς τὸ ὁρᾶν, οὐκ ἔδει τὰ ἐν τῷ ὕδατι ὄντα ὁρᾶν. πῶς γὰρ οἷόν τε ἐν ὕδατι πῦρ τε καὶ φῶς τοιοῦτον διαμένειν καὶ μὴ σβέννυσθαι; ἔτι εὐλογώτερον ἦν τὸ ὀλίγον φῶς τοῦτο ἐκπεμπόμενον ἡμέρας ἀποσβέννυσθαι μᾶλλον ἢ σκότους· ὁρῶμεν γὰρ τὸ πλεῖον πῦρ καὶ τὸ πλεῖον φῶς τοῦ ὀλίγου φθαρτικά.

in Sens.23 ἃ γὰρ νυκτὸς φωτίζει, ταῦτα ἡμέρας οὔσης ἐξασθενεῖ· ὥστε εὐλογώτερον, εἰ τῷ ἐκπέμπειν φῶς τὸ ὁρᾶν, νυκτὸς μᾶλλον ὁρᾶν τὰ ζῷα ἢ μεθ' ἡμέραν. Εἰπὼν δὲ ταῦτα περὶ τῆς δόξης τοῦ Πλάτωνος ἐπὶ τὴν Ἐμπεδοκλέους μέτεισι δόξαν. λέγει δὲ αὐτὸν ποτὲ μὲν τὸ ἀπὸ τῆς ὄψεως ἐκπεμπόμενον φῶς αἰτιᾶσθαι τοῦ ὁρᾶν, ποτὲ δὲ ἀπορροίας τινὰς ἀπὸ τῶν ὁρωμένων. καὶ πρῶτόν γε παρατίθεται αὐτοῦ τὰ ἔπη δι' ὧν ἡγεῖται καὶ αὐτὸς πῦρ εἶναι τὸ φῶς καὶ τοῦτο ἐκ τῶν ὀφθαλμῶν προχεῖσθαί τε καὶ ἐκπέμπεσθαι καὶ τούτῳ τὸ ὁρᾶν γίνεσθαι. ἀπεικάζει γὰρ διὰ τῶν ἐπῶν τὸ ἐκπεμπόμενον ἀπὸ τῆς ὄψεως φῶς τῷ διὰ τῶν λυχνούχων φωτί. ὡς γὰρ ὁδοιπορεῖν τις νυκτὸς μέλλων λύχνον παρασκευασάμενος ἐντίθησιν εἰς λαμπτῆρα (ὁ γὰρ λαμπτὴρ τὰ μὲν ἔξωθεν πνεύματα ἀπείργει τε καὶ κωλύει, τοῦ δὲ πυρὸς τὸ λεπτότατον εἰς τὸ ἔξω διίησιν, ὅπερ ἐστὶ φῶς), οὕτω, φησί, καὶ ἐν ταῖς μήνιγξι καθειργόμενον τὸ πῦρ ὑπὸ λεπτῶν ὑμένων περιέχεται, οἳ τὰ μὲν ἔξωθεν προσπίπτοντα λυμαντικὰ τοῦ πυρὸς ἀπείργουσι καὶ οὐκ ἐῶσιν ἐνοχλεῖν τῇ κόρῃ, τὸ δὲ λεπτότατον τοῦ πυρὸς εἰς τὸ ἔξω διαᾶσιν. ἀμουργοὺς δὲ τοὺς λαμπτῆρας λέγοι ἂν τοὺς ἀπειρκτικοὺς ἀπὸ τοῦ ἀπερύκειν τὰ πνεύματα καὶ σκέπειν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιεχόμενον ὑπ’ αὐτῶν πῦρ· ἢ ἀμουργοὺς τοὺς πυκνοὺς καὶ διὰ πυκνότητα ἀπερύκοντας τὰ πνεύματα, ταναὸν δὲ τὸ πῦρ τὸ διὰ λεπτότητα τεινόμενόν τε καὶ διεκπίπτειν διὰ τῶν πυκνῶν δυνάμενον. κατὰ βηλὸν δὲ κατὰ τὸν οὐρανόν· Ὅμηρος· „ῥίπτεσκεν τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ’ ἂν ἵκηται γῆν ὀλιγηπελέων“. λεπτῇσι δὲ ὀθόνῃσιν ἐχεύατο κύκλοπα κούρην εἶπεν ἀντὶ τοῦ ‘λεπτοῖς ὑμέσι περιέλαβε τὴν κυκλοτερῆ κόρην‘, πρὸς τὸ ὄνομα τῆς κόρης χρησάμενος ποιητικῶς ταῖς ὀθόναις ἀντὶ τῶν ὑμένων.

in Sens.24 δείξας δὲ αὐτὸν διὰ τούτων τῶν ἐπῶν ταῦτα λέγοντα, προστίθησι τὸ ὁτὲ μὲν οὕτως ὁρᾶν φησι ν , ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων ἀπορρεῖν τινά, ἃ προσπίπτοντα τῇ ὄψει, ὅταν ἐναρμόσῃ τοῖς ἐν αὐτῇ πόροις τῷ εἶναι σύμμετρα, εἴσω τε χωρεῖν καὶ οὕτως τὸ ὁρᾶν γίνεσθαι. ταύτης τῆς δόξης καὶ Πλάτων μνημονεύει ὡς οὔσης Ἐμπεδοκλέους ἐν Μένωνι, καὶ ὁρίζεται κατὰ τὴν δόξαν τὴν ἐκείνου τὸ χρῶμα ἀπορροὴν σωμάτων ὄψει σύμμετρον καὶ αἰσθητήν. p. 438a5 Δημόκριτος δ ’ ὅτι μὲν ὕδωρ φησὶν εἶνα ι , λέγει καλῶ ς , ὅτι δ ’ οἴεται τὸ ὁρᾶν εἶναι τὴν ἔμφασι ν , οὐ καλῶ ς . Ἀντειπὼν τοῖς ἐκ πυρὸς τὴν ὄψιν ποιοῦσιν ἐπὶ τὴν Δημοκρίτειον δόξαν μετελήλυθε, καὶ τὸ μὲν ἐξ ὕδατος τὴν ὄψιν λέγειν αὐτὸν εἶναι ἐπαινεῖ, τὸν δὲ τρόπον καθ’ ὃν γίνεσθαι τὸ ὁρᾶν λέγει οὐκ ἀποδέχεται. λέγει γὰρ Δημόκριτος τὸ ὁρᾶν εἶναι τὸ τὴν ἔμφασιν τὴν ἀπὸ τῶν ὁρωμένων δέχεσθαι. ἔστι δὲ ἡ ἔμφασις τὸ ἐμφαινόμενον εἶδος ἐν τῇ κόρῃ, ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις τῶν διαφανῶν, ὅσα οἷά τε τὴν ἔμφασιν φυλάττειν ἐν αὑτοῖς. ἡγεῖται δὲ αὐτός τε καὶ πρὸ αὐτοῦ Λεύκιππος καὶ ὕστερον δὲ οἱ περὶ τὸν Ἐπίκουρον εἴδωλά τινα ἀπορρέοντα ὁμοιόμορφα τοῖς ἀφ’ ὧν ἀπορρεῖ (ταῦτα δέ ἐστι τὰ ὁρατά) ἐμπίπτειν τοῖς τῶν ὁρώντων ὀφθαλμοῖς καὶ οὕτως τὸ ὁρᾶν γίνεσθαι. οὗ τεκμήριον παρατίθεται τὸ ἀεὶ τῶν ὁρώντων ἐν τῇ κόρῃ εἶναι τὴν τοῦ ὁρωμένου ἔμφασιν καὶ εἴδωλον· ὃ δὴ καὶ τὸ ὁρᾶν εἶναι. ἀντιλέγει δὲ πρὸς τὴν δόξαν τοῦ Δημοκρίτου ταύτην τοῦτο μὲν συμβαίνειν (λέγων τὴν ἔμφασιν) διὰ τὸ τὸ ὄμμα λεῖον εἶναι· τὰ γὰρ λεῖα πάντα πέφυκε τὴν τοιαύτην ἀπὸ τῶν ὁρατῶν ἔμφασιν δέχεσθαι, οὐχ ὁ ὀφθαλμὸς μόνος. ὅτι δὲ οἴεται τὸ ὁρᾶν εἶναι τὴν ἔμφασι ν , οὐ καλῶς τοῦτ’ ἔστιν ‘ὅτι δὲ οἴεται τὴν ἔμφασιν αἰτίαν εἶναι τοῦ ὁρᾶν, οὐ καλῶς.‘ p.

in Sens.25 438a7 Καὶ ἔστιν οὐκ ἐν ἐκείν ῳ , ἀλ λ ’ ἐν τῷ ὁρῶντι · ἀνάκλασις γὰρ τὸ πάθο ς . Δοκεῖ μοι σφόδρα βραχέως εἰρῆσθαι τὸ λεγόμενον, διὸ καὶ ἀσαφὲς εἶναι. ἔστι γὰρ ὃ λέγει· ‘καὶ ἔστιν οὐκ ἐν ἐκείνῳ τὸ ὁρᾶν, τουτέστιν οὐ διὰ τὴν ἔμφασιν οὐδὲ ἐν τῇ ἐμφάσει ἐστὶ τὸ ὁρᾶν, ἀλλ’ ἐν τῷ ὁρῶντι, τουτέστι τῷ ἔχοντι τὴν ὁρατικὴν δύναμιν· ἡ γὰρ ἔμφασις ἀνάκλασίς τίς ἐστι καὶ πάθοσ‘. ἢ τὸ καὶ ἔστιν οὐκ ἐν ἐκείν ῳ , ἀλ λ ’ ἐν τῷ ὁρῶντι · ἀνάκλασις γὰρ τὸ πάθος ἴσον ἐστὶ τῷ ‘καὶ ἔστιν οὐκ ἐν τῇ ἐμφάσει τὸ ὁρᾶν, ἀλλ’ ἐν τῷ ὁρῶντι ἡ ἔμφασισ‘· οὗ δεικτικὸν τὸ ἐπενεχθὲν τὸ ἀνάκλασις γὰρ τὸ πάθο ς . ἐν γὰρ τῷ ὀφθαλμῷ, ὅς ἐστιν ὁ ὁρῶν, ἡ ἔμφασις, διότι λεῖος. ἡ γὰρ ἔμφασις πάθος τί ἐστι κατὰ ἀνάκλασιν γινόμενον ἐν τοῖς λείοις τε καὶ σύστασίν τινα ἔχουσιν, ὡς δύνασθαι σῴζειν τὸ ἐμφαινόμενον διὰ τοῦ μεταξὺ διαφανοῦς γινόμενον, ὁποῖόν ἐστι καὶ ὁ ὀφθαλμός. ὅθεν πάλιν ὡς τὸ ὁρατὸν ἔχοντος ἐν αὐτῷ, τοῦτο δέ ἐστιν ἡ ἔμφασις, ἐπ’ ἄλλο τι διάδοσις τῆς ἐμφάσεως γίνεται καὶ ἐπ’ αὐτὸν τὸν ὁρῶντα. τῷ οὖν καὶ τὸν ὀφθαλμὸν τοιοῦτον εἶναι (λεῖος γάρ) γίνεται καὶ ἐν τούτῳ ἡ ἔμφασις κατὰ τὴν τῶν ὁρωμένων ἀνάκλασιν διὰ τοῦ μεταξὺ διαφανοῦς, ὅταν κατ’ ἐνέργειαν τοιοῦτον ᾖ. κοινότερον δὲ χρῆται τῷ τῆς ἀνακλάσεως ἐπὶ τῆς ἐμφάσεως ὀνόματι, ὡς καθωμιλημένῳ ἐπὶ τούτων· ἐπεὶ ὅτι γε οὐ κατ’ ἀνάκλασιν ταῦτα γίνεται, ὡς δοκεῖ τοῖς ἀπὸ τῶν μαθημάτων, ἀλλὰ τῇ τοῦ διαφανοῦς διακονίᾳ, ὃ πάσχον πως ὑπὸ τοῦ ὁρωμένου διαδίδωσιν ὃ πάσχει πάθος τοῖς λείοις τε καὶ στέγειν αὐτὰ καὶ σῴζειν δυναμένοις, ὅταν ἐπ’ εὐθείας ᾖ ταῦτα τοῦ ὁρωμένου κείμενα, ἀπὸ τούτων πάλιν πάσχον ὡς ἀπ’ ἀρχῆς τινος τὸ πάθος διαδίδωσιν ἐπὶ ταῦτα ἀφ’ ὧν τὴν ἀρχὴν ἔπαθεν, εἴρηκεν, ὅτε ἔλεγεν ἐν τοῖς Περὶ ψυχῆς περὶ τοῦ πῶς ὁρῶμεν. εἰπὼν δὲ τὴν ἔμφασιν οὐ τὸ ὁρώμενον εἶναι ἀλλὰ πάθος τι καὶ ἀνάκλασιν, προστίθησιν ὅτι μηδέπω περὶ τῶν ἐμφάσεών

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε καὶ ἀνακλάσεων δῆλον 〈ἦν〉 τῷ Δημοκρίτῳ ἴσως, μήτε τί εἰσιν αἱ ἐμφάσεις μήτε πῶς γίνονται μήτε ὅτι τὰ λεῖα καὶ στέγειν δυνάμενα πάντα τῶν τοιούτων ἐμφάσεων δεκτικά, οὐχ αἱ ὄψεις μόνον.

in Sens.26 εἰπὼν δὲ ταῦτα προστίθησιν ὅτι καὶ τοῦτο ἄτοπον τὸ μὴ ἐπελθεῖν αὐτῷ ἀπορῆσαι διὰ τί πλειόνων ὄντων τῶν τὰς ἐμφάσεις καί, ὡς αὐτὸς ἡγεῖται, τὰ εἴδωλα δεχομένων μόνος ὁ ὀφθαλμὸς ὁρᾷ. εἰ γὰρ ἐπέστησε τούτῳ, οὐκ ἂν ἐδόκει αὐτῷ ἔμφασις ἡ ὁρῶσα εἶναι. πολλὰ γὰρ ἄψυχα δέχεται τὴν τοιαύτην ἔμφασιν, ἀλλ’ οὐχ ὁρᾷ. p. 438a12 Τὸ μὲν οὖν εἶναι τὴν ὄψιν ὕδατο ς , ἀληθὲς μέ ν , οὐ μέντοι συμβαίνει τὸ ὁρᾶν ᾗ ὕδω ρ . Ἀληθὲς μέν φησι τὸ ὑπὸ Δημοκρίτου λεγόμενον εἶναι, τὸ ὅτι ἡ ὄψις ὕδατός ἐστιν· οὐ μὴν διότι ὕδωρ ἐστὶ καὶ ἐξ ὕδατος, διὰ τοῦτο ὁρᾷ, ἀλλὰ καθότι συμβέβηκε τῷ ὕδατι διαφανεῖ εἶναι· διὰ γὰρ διαφανοῦς τὸ ὁρᾶν. διὸ καὶ δι’ ὕδατος· διαφανὲς γὰρ καὶ τοῦτο. ἑξῆς δὲ προστίθησι καὶ τὴν αἰτίαν δι’ ἥν, ὀφείλοντος διαφανοῦς εἶναι τούτου ᾧ ὁρῶμεν, ὄντος δὲ διαφανοῦς οὐκ ἔλαττον τοῦ ἀέρος ἢ τοῦ ὕδατος, ἔστιν ὕδατος ὁ ὀφθαλμός. λέγει γάρ· διὰ τὸ εὐφυλακτότερον εἶναι τὸ ὕδωρ τοῦ ἀέρος καὶ δύνασθαι μᾶλλον σῴζεσθαι ἐν ᾧ ἂν ἀποληφθῇ (ὁ γὰρ ἀὴρ εὐδιάπνευστός τε καὶ δυσαπόληπτος τῷ διαπνεῖσθαι ῥᾳδίως) εἴη ἂν ἐξ ὕδατος, καὶ διὰ τὸ φυλακτικώτερον εἶναι τοῦ τόπου τὸ ὕδωρ τοῦ ἀέρος καὶ μᾶλλον συνεστάναι (τούτου γὰρ τὸ εὐυποληπτότερον ὄνομα, ᾧ κέχρηται, σημαντικόν)· σύστασιν γὰρ μᾶλλον ἔχει, εὐρίπιστος γὰρ ὁ ἀήρ. καὶ ἔστιν ὁ μὲν ἀὴρ διαφανὴς μόνον διὰ λεπτότητα, τὸ δὲ ὕδωρ καὶ διαφανὲς καὶ ἐμφανές. δι’ οὗ μὲν οὖν ὁρῶμεν ἀρκεῖ τοῦτο διαφανὲς εἶναι, ᾧ δὲ ὁρῶμεν, τοῦτο καὶ ἐμφανὲς καὶ τοιοῦτον οἷον δέχεσθαι δύνασθαί τε καὶ σῴζειν τὰ τῶν ὁρωμένων εἴδη· ἢ οὐδὲν ἡ ἔμφασις πρὸς τὸ ὁρᾶν συντελεῖ, ἀλλ’ ἱκανὴ ἡ διαφάνεια, ὡς εἶπεν. ἔτι δύο ὑπεροχῶν οὐσῶν ἐν τῷ διαφανεῖ καὶ ὄντος ἄκρως μὲν ἀραιοῦ τοῦ ἀέρος, στερεῶν δὲ πάλιν τῶν ὡρισμένων διαφανῶν (ταῦτα δέ ἐστι τὰ ἴδιον πέρας ἔχοντα, ὡς ὕελός τε καὶ τῶν λίθων οἱ τοιοῦτοι), μέσον ἐστὶν ἑκατέρου τῶν ἄκρων τούτων τὸ ὕδωρ· ἔδει δὲ τὸ ἑκατέρων ἀντιληψόμενον τῶν ὑπερβολῶν ἐν μέσῳ εἶναι ἑκατέρου (εἰ γὰρ ἦν ἐκ τοῦ ἑτέρου τῶν ἄκρων, οὐκ ἂν ἀντελαμβάνετο τοῦ ἑτέρου πόρρω ὄντος καὶ κατὰ πολὺ διεστῶτος, ἐπεί, ὡς αὐτὸς εἴρηκεν ἐν τῷ δευτέρῳ Περὶ ψυχῆς, δεῖ εἶναι τὸ δι’ οὗ αἰσθανόμεθα).

in Sens.27 ἔστι δὲ τοιοῦτον τὸ ὕδωρ πρὸς τὰ ἄλλα διαφανῆ· εἰκότως οὖν ἐκ τούτου ἡ ὄψις. Ὅτι δὲ ἐξ ὕδατός ἐστιν ἡ κόρη δι’ ἧς ὁρῶμεν, καὶ ἐξ αὐτῶν δείκνυσι τῶν ὀφθαλμῶν· διαφθειρομένων γὰρ τούτων τὸ ἐκρέον ὕδωρ φαίνεται ὄν. ἀλλὰ καὶ ἐν τοῖς παντελῶς ἔτι τῶν ἐμβρύων νεογνοῖς φησι τῇ τε ψυχρότητι καὶ τῇ λαμπρότητι ὑπερβάλλειν τὸ ἐν τοῖς ὀφθαλμοῖς ὑγρόν. δῆλόν ἐστι καὶ ἐκ τῶν ἀνατομῶν τὰ τοῦ ὀφθαλμοῦ· οὐ γὰρ ἄλλο τί ἐστιν ἢ ὑγρὸν τὸ περιεχόμενον ἐν ἐκείνῳ τῷ χιτῶνι, ἔνθα ἡ κόρη. λέγει δὲ καὶ διὰ τοῦτο ἐν τοῖς ἐναίμοις τῶν ζῴων τὸ λευκὸν τοῦ ὄμματος λιπαρὸν εἶναι μάλιστα, ὅπως διαμένῃ τὸ ὑγρὸν τὸ αὐτόθι ἄπηκτον θαλπόμενον διὰ τούτου. διὸ ἀρριγότατος ὁ ὀφθαλμός ἐστι. τὰ μὲν οὖν τῶν ζῴων ἔναιμα ταύτην τὴν βοήθειαν ἔχει πρὸς τὸ μὴ πήγνυσθαι αὐτῶν τὸ ἐν τοῖς ὀφθαλμοῖς ὑγρόν· τὰ δὲ ἄναιμα πιμελὴν μὲν οὐκ ἔχει, σκληρόφθαλμα δέ ἐστι διὰ τὴν τῶν περικειμένων χιτώνων τῷ ὑγρῷ δι’ οὗ ὁρῶσι στερεότητα καὶ ὑπὸ τούτων σκέπονται. p. 438a25 Ἄλογον δ ’ ὅλως τὸ ἐξιόντι τινὶ τὴν ὄψιν ὁρᾶ ν . Εἰπὼν μεταξὺ τὴν Δημοκρίτου δόξαν ἐπάνεισι πάλιν ἐπὶ τὴν πρότερον ῥηθεῖσαν. καὶ ἐπεὶ οἱ ἐκ πυρὸς τὴν ὄψιν ποιοῦντες ἔλεγον τὸ ὁρᾶν γενέσθαι ἐξιόντος τινὸς φωτὸς ἀπὸ τῶν ὀφθαλμῶν, καθόλου ἐνστὰς πρὸς τὸ ἐξιόντι τινὶ ἀπὸ τῶν ὀφθαλμῶν τὸ ὁρᾶν γίνεσθαι, ἀνελὼν τοῦτο συναναιρήσει αὐτῷ καὶ ὃ τούτῳ εἵπετο· εἵπετο δὲ καὶ τὸ ἐκ τοῦ πυρὸς τὴν ὄψιν εἶναι. τῷ δὲ μὴ ἐξιόντι τινὶ ἀπὸ τῶν ὀφθαλμῶν τὸ ὁρᾶν γίνεσθαι συναναιροῖτ’ ἂν καὶ τὸ ἀνάκλασιν γίνεσθαι. ἄλογον γάρ, φησίν, ὅλως τὸ ἐξιόντι τινὶ ἀπὸ τῶν ὀφθαλμῶν τὸ ὁρᾶν γίνεσθαι. ἐπεὶ δὲ τῶν ὁμοίως λεγόντων τὸ ὁρᾶν γίνεσθαι οἱ μὲν μέχρι τοῦ ὁρωμένου ἡγοῦντο τὸ ἐξιὸν ἀπὸ τῶν ὀφθαλμῶν ἀποτείνεσθαι, ὥσπερ οἱ μαθηματικοί, οἵτινες δι’ ἀκτίνων ἐξιουσῶν ἀπὸ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀφθαλμῶν καὶ μέχρι τῶν ὁρωμένων ἀποτεινομένων ὁρᾶν ἡμᾶς λέγουσι (κῶνον γάρ τινά φασιν ἐκ τῶν ἀκτίνων γίνεσθαι κορυφὴν ἔχοντα τὴν ὄψιν, βάσιν δὲ τὸ ὁρώμενον, καὶ τούτῳ τῷ κώνῳ περιλαμβάνεσθαί τε τὰ ὁρώμενα καὶ οὕτως ὁρᾶσθαι, τῆς τοῦ κώνου βάσεως περιλαμβανούσης αὐτά), οἱ δὲ μέχρι τινὸς τὸ ἐκπεμπόμενον ἀπὸ τῶν ὀφθαλμῶν φῶς προϊέναι φασίν, ἔπειτα συμμιγὲς γίνεσθαι τῷ ἔξω φωτὶ καὶ τούτου τοῦ ἐξ ἀμφοῖν συστάντος τε καὶ συμφύντος φωτὸς κατὰ τὸ πέρας τοῖς ὀφθαλμοῖς προσπίπτοντος καὶ διαγγέλλοντος τὸ πάθος τῷ ὀφθαλμῷ τὸ ὁρᾶν γίνεσθαι, ὡς Πλάτωνι δοκεῖ, ἀμφοτέρας φησὶ τὰς δόξας ἀτόπους, πρὸς μαθηματικοὺς οὐδὲν ἀντιλέγων ἄλλο, πρὸς δὲ τοὺς τὸ φῶς ἐξιέναι λέγοντας, ἔπειτα συμφύεσθαι τῷ ἀπὸ τῶν ὁρωμένων φωτὶ λέγει, ἐπειδὴ τῶν πῦρ τὴν ὄψιν εἶναι λεγόντων αὕτη ἡ δόξα ἐστίν, ἣν αὐτῷ προηγουμένως ἀνελεῖν πρόκειται.

in Sens.28 Λέγοιτο δ’ ἂν καὶ πρὸς ἐκείνους πρῶτον μὲν ὅτι ἀνάγκη σῶμα εἶναι τὸ ἐκπεμπόμενον· οὐ γὰρ δὴ οἷόν τε ἀσώματόν τι κινηθῆναι καθ’ αὑτὸ τοπικῶς. ὄντος δὲ σώματος τοῦ ἐκπεμπομένου, πῶς οὐκ ἀναλίσκεται τὰ ὁρῶντα τοσοῦτον ἀφεστῶτα τοῦ ὁρωμένου, ὅσον ὁ οὐρανὸς ἡμῶν; καὶ γὰρ εἰ λεπτότητι τὸ ἐκπεμπόμενον σῶμα διαφέροι, ἀλλ’ οὖν τὸ πλῆθος τοῦ διαστήματος ἱκανὸν καὶ μεῖζον καταναλῶσαι σῶμα οὗ τὰ ζῷα ἔχει, κἂν εἰς λεπτότατόν τις αὐτὸ ἀναλύσῃ. νῦν δὲ οὐδὲν ἐλάττον’ ὁρᾶται τὰ ζῷα γινόμενα, ὅτε τὰ ἀπὸ τοσούτου διαστήματος ὁρᾷ ἢ ὁπότε ἐπιμύει. ἔτι εἰ λεπτὸν οὕτως τὸ προχεόμενόν ἐστιν, ὡς δύνασθαι ἐπὶ τοσοῦτον ἀποτεινόμενον μηδὲν φανερῶς ἀπαναλίσκειν τοῦ ἀφ’ οὗ προχέεται σώματος, πῶς οὐκ εὔφθαρτόν ἐστιν ὑπὸ τοῦ τυχόντος; τὰ γὰρ λεπτότατα τῶν σωμάτων εὐπαθῆ. φαίνεται δὲ τοῦτο μηδὲ ὑπὸ τῶν βιαιοτάτων ἀνέμων ἐκτρέπεσθαι δυνάμενον τῆς ἐπ’ εὐθείας τάξεως. ἔτι εἰ οὕτως ἐστὶ λεπτόν, διὰ τί δὴ καὶ ἐπιμυόντων ἡμῶν οὐ προχεῖται διὰ τῶν ἐν τῷ βλεφάρῳ πόρων; καὶ διὰ τί οὐχ ὁρῶμεν καὶ τότε; πολὺ γὰρ λεπτότερον τὸ ῥεῦμα τὸ τῶν ἀκτίνων τῶν ἱδρώτων οἳ ἐκκρίνονται δι’ αὐτοῦ.

in Sens.29 ἀλλ’ οὐδὲ τὰ βλέφαρα ἐπιμυόντων οὕτως ἥρμοσται πρὸς ἄλληλα, ὡς μὴ δύνασθαι τὰς ἀκτῖνας οὕτως οὔσας λεπτὰς προχεῖσθαι. καὶ γὰρ εἰ διὰ τῶν στερεῶν διαφανῶν οἷαί τέ εἰσι διέρχεσθαι (ὁρῶμεν γὰρ διὰ τῶν τοιούτων τὰ ἐπέκεινα, ὡς διὰ τῶν σπέκλων τε καὶ τῶν φεγγιτῶν λίθων), δῆλον ὡς καὶ διὰ τοῦ δέρματος τοῦ βλεφάρου δύναιτ’ ἂν προχεῖσθαι. ἔτι διὰ τί οὐκ εἰς στενὸν ἀπολήγουσιν αἱ ἀκτῖνες ἐκπεμπόμεναι, ὥσπερ καὶ πάντα τὰ ἀπό τινων; ἀπορρέον γὰρ ὕδωρ ἐν τῇ προόδῳ στενούμενον ὁρῶμεν, ἀλλὰ καὶ ἡ φλὸξ εἰς ὀξὺ ἀπολήγει. ταύτας δὲ τοὐναντίον ἐκχεομένας πλατύνεσθαί φασι καὶ ἀπολήγειν εἰς κώνου βάσιν. ἔπειτα εἰ σῶμά ἐστι τὸ ἐκπεμπόμενον, δῆλον ὡς καὶ τόπον καθέξει. εἰ δὲ μηδέν ἐστι κενόν, ἤτοι σῶμα διὰ σώματος χωρήσει καὶ δύο σώματα ἅμα ἐν τῷ αὐτῷ ἔσται τόπῳ ἢ καὶ πλείω, εἰ πλείους ἅμα εἶεν οἱ ὁρῶντές τι ταὐτόν, ἢ ἀντιπερίστασις ἔσται, εἰ μὲν ἐν ἀέρι ὁρῶμεν, ἀέρος, εἰ δὲ ἐν ὕδατι, ὕδατος. εἰς τί οὖν ἡ ἀντιπερίστασις; οὔτε γὰρ εἰς τὸν ὀφθαλμὸν καὶ τὴν κόρην οἷόν τε δέχεσθαι τὸ ἀντιμεθιστάμενον ταῖς ἀκτῖσιν ὕδωρ, ὅταν δὴ ἐν ὕδατι βλέπωμεν, οὔτε διὰ τῆς ἀναπνοῆς ἡμᾶς δέχεσθαι αὐτό· οὐδὲ γὰρ ἀναπνέομεν τὴν ἀρχὴν ἐν ὕδατι ὄντες. ζητητέον οὖν 〈ἐν〉 τῇ τοῦ ὕδατος ἀντιπεριστάσει τὸ πρὸς τί ἀντιπεριΐσταται τοῦτο τὸ σῶμα τὸ δι’ οὗ φέρεται ὁ κῶνος. ἑνὸς μὲν γὰρ ὁρῶντος τῷ ἐκείνου κώνῳ ἂν ἀντιπεριΐστατο· εἰ δὲ καὶ δεύτερος ὁρῴη καὶ τρίτος τὸ αὐτό, πῶς ἔτι, καθ’ ὃ συμβάλλουσιν ἀλλήλοις οἱ κῶνοι, ἀντιπερίστασις ἔσται; εἰ γὰρ τὸ μόριον τοῦ κώνου τῷ μορίῳ τοῦ κώνου ἀντιπεριΐσταται, εἷς ἂν μόνος ὁρῴη, οὗ τοῦ κώνου τὸ μόριον κατέχει τὸν τόπον ἐκεῖνον τὸν πρὸς τῷ ὁρωμένῳ. ὧν γὰρ ἀντιπεριέστη τὰ μέρη τῶν κώνων, πῶς ἂν ἔτι ὁρῷεν οὗτοι; ἀλλὰ μὴν πάντες ἅμα ὁρῶσιν. ἀνάγκη ἄρα δι’ ἀλλήλων χωρεῖν τοὺς κώνους καὶ πολλὰ σώματα ἕνα καὶ τὸν αὐτὸν κατέχειν τόπον, ὃν καὶ τὸ τοῦ ἑνὸς κώνου μόριον κατέχει.

in Sens.30

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔτι εἰ πᾶσα κίνησις ἐν χρόνῳ, κατὰ δὲ τὴν τῶν ἀκτίνων ἔκχυσίν τε καὶ τάσιν ἐπὶ τὸ ὁρώμενον τὸ ὁρᾶν, ἐν χρόνῳ ὀψόμεθα. ἀλλὰ μὴν ἀδύνατον τὸ αὐτό τι καὶ ἰσοταχῶς κινούμενον ἐν τῷ ἴσῳ χρόνῳ κινηθῆναι τόδε τι τὸ διάστημα καὶ τὸ τούτου πολλαπλάσιον. ὁρῶμεν δὲ ἅμα τῷ ἀναβλέψαι, εἰ φῶς εἴη, τά τε ἐγγὺς καὶ τὰ πορρωτάτω. ἔτι εἰ πολλοὶ ἅμα τὸ αὐτὸ ὁρῷεν ἐκ διαφόρων τόπων καὶ φέροιντο οἱ κῶνοι ἢ ὅ τι δὴ καὶ ἔστι τὸ φερόμενον ἀπὸ τῆς ὄψεως ἐπὶ τὸ ὁρώμενον ἀπὸ πάντων τῶν ὁρώντων, ἀνάγκη δι' ἀλλήλων φέρεσθαι τὰ φερόμενα καὶ περιλαμβάνοντα τὸ ὁρώμενον. οὕτως δὲ τέμνοιντο ἂν ὑπ' ἀλλήλων οἱ κῶνοι. οὗ γινομένου ἀνάγκη λύεσθαι τὴν τῶν ἐκπεμπομένων σωμάτων ἐπὶ τὸ ὁρώμενον συνέχειαν, διαιρουμένης δὲ ταύτης οὐδ' ἂν ὁρᾶν ἔτι δυνατὸν εἴη. τὸ δ' αὐτὸ τοῦτο ἀνάγκη γίνεσθαι καὶ εἰ δύο τινὲς εἶεν οἱ ὁρῶντες ἄντικρυς ἑστῶτες ἀλλήλων, εἴη δὲ ἐπ' εὐθείας ἑκατέρῳ τῶν ὁρώντων ὁρατόν τι κείμενον, οἱ δὲ ὁρῷεν μὴ τὰ καθ' αὑτοὺς ἀλλ' ἑκάτερος αὐτῶν τὸ τῷ ἑτέρῳ ἐπ' εὐθείας κείμενον· καὶ γὰρ οὕτως ἀνάγκη κατὰ τὸ μέσον συμβάλλειν τε τοὺς κώνους ἀλλήλοις καὶ τέμνεσθαι ὑπ' ἀλλήλων, ἢ τὸν ἕτερον διὰ τοῦ ἑτέρου χωρεῖν· οὕτως δ' ἂν πάλιν δύο σώματα γένοιτ' ἐν τῷ αὐτῷ. ἔτι οἱ ἐξ ἐναντίας ἀλλήλους ὁρῶντες πῶς ὁρᾶν δυνήσονται; ἢ γὰρ οἱ κῶνοι ἀπαντῶντες ἀλλήλοις οὐ προελεύσονται, εἰ εἶεν ἰσοσθενεῖς, ὥστε οὐδέτερος οὐδέτερον ὄψεται, ἢ ὁ ἕτερος τὸν ἕτερον ὄψεται, οὐκέτι δὲ καὶ ὁ ἕτερος τὸν ἕτερον. ἔτι εἰ σῶμά ἐστι τὸ ἀπὸ τῶν ὀφθαλμῶν ἀπορρέον ᾧ ὁρῶμεν, ἤτοι ἀὴρ ἔσται ἢ πῦρ· ταῦτα γὰρ λεπτότατα τῶν ἐν ἡμῖν σωμάτων. ἀλλ' ἀέρα μὲν οὐκ εὔλογόν ἐστιν. ἔστι γὰρ καὶ πρὸ τῶν ὀφθαλμῶν καὶ πρὸ τῆς κόρης ἀήρ· μάτην οὖν ἔνδοθεν ἐκπέμποιτο ἄν. εἰ δὲ πῦρ τὸ ἐκπεμπόμενον (τοῦτο γὰρ λεπτότερόν τε καὶ εὐκινητότερον), πυρὸς δὲ ἡ ἄνω κίνησις κατὰ φύσιν, πῶς οὐκ εἰς τὸ ἄνω μόνον ὁρῶμεν, ἀλλὰ καὶ τὰ ὑφ' ἡμᾶς καὶ κάτω, καὶ ἰσοταχῶς γε καὶ ὁμοίως; ἢ τί ἔσται τὸ μετὰ τὸ προχυθῆναι ἐκ τῶν ὀφθαλμῶν τὸ πῦρ εἰς τὸ κάτω αὐτὸ βίᾳ κινοῦν; ἔτι πῶς τὰ κατὰ τοῦ ὕδατος ὁρῶμεν; πῦρ γὰρ πᾶν ἐν ὕδατι σβέννυται, καὶ ὅσῳ ἂν λεπτότερόν τε ᾖ καὶ ἔλαττον, θᾶττον.

in Sens.31 ἀλλ' οὐδὲ διὰ τῆς ὄψεως εὔλογον φέρεσθαι πῦρ· ὕδατος γὰρ καὶ ἡ κόρη. ἔτι εἰ πῦρ ἐστι τὸ ἐκπεμπόμενον, ἔδει αὐτό, εἰ καὶ μὴ μεθ' ἡμέραν, ἀλλὰ νυκτός γε ὁρᾶσθαι. ἀλλὰ ἐφωτίζετ' ἂν ὁ ἀὴρ ὁ περὶ τοὺς ὁρῶντας, εἴγε πλείους ἅμα νυκτὸς ἑώρων ἐν ὀλίγῳ ἀέρι συγκεκλεισμένοι· τὸ γὰρ λέγειν ἀποσβέννυσθαι διὰ τὴν παχύτητα τοῦ ἀέρος τοῦ σκοτώδους τὸ ἐκπεμπόμενον ἐκ τῆς ὄψεως νύκτωρ πῦρ εὔηθες· πολὺ γὰρ τὸ ὕδωρ παχύτερον ὂν οὐ σβέννυσιν αὐτό. εἰ δὲ λέγοιεν φῶς τὸ ἐκπεμπόμενον εἶναι, δεικτέον αὐτοῖς ὅτι τε ἀσώματον καὶ οὐχ οἷόν τε ἐκπέμπεσθαι καὶ προχεῖσθαι, ὥς φασι. γίνεται γὰρ κατὰ σχέσιν τοῦ φωτίζεσθαι πεφυκότος πρὸς τὸ φωτίζειν δυνάμενον· διὸ οὐδὲ κίνησις φωτός ἐστιν. ἅμα γοῦν ὁρῶμεν καὶ τὰ ἐγγὺς καὶ τὰ πόρρω τοῦ φωτίζειν πεφυκότος φωτιζόμενα, ὅσα ἀπὸ τοῦ αὐτοῦ διαστήματος οἷά τε φωτίζεσθαι ὑπ' αὐτοῦ· ὃ ἦν ἂν ἀδύνατον, εἰ ἦν τὸ φῶς σῶμα. ὅτι δὲ σχέσις τις καὶ κατὰ σχέσιν τοῦ φωτίζοντος πρὸς τὸ φωτιζόμενον καὶ μὴ οὐσία τις καὶ σῶμα τὸ φῶς, δῆλον καὶ ἐκ τοῦ μηδ' ἐπ' ὀλίγον ὑπομένειν αὐτὸ τοῦ φωτίζοντος παρενεχθέντος. Καὶ ταῦτα μὲν καὶ τοιαῦτα λέγοιτ' ἂν πρὸς τοὺς ἐκπέμποντάς τι σῶμα ἀπὸ τῶν ὀφθαλμῶν ἕως τῶν ὁρωμένων. ἀλλ' οὐδ' ἀπὸ τῶν ὁρωμένων εὔλογον ἀπορρέον τι προσπίπτειν τοῖς ὀφθαλμοῖς, καὶ οὕτως τὸ ὁρᾶν γίνεσθαι. σχεδὸν γὰρ ὅσα ἕπεται ἀδύνατα τοῖς ἀπὸ τῶν ὀφθαλμῶν λέγουσί τι ἀπορρεῖν, ἕπεται καὶ τοῖς ἀπὸ τῶν ὁρωμένων, πρὸς δὲ ἐκείνοις ἔτι καὶ τὸ μὴ οἷόν τε εἶναι τοῦ μεταξὺ διαστήματος τοῦ τε ὁρῶντος καὶ τοῦ ὁρωμένου αἴσθησιν γίνεσθαί τινα, εἰ οὕτως γίνοιτο τὸ ὁρᾶν. πῶς δὲ ἔτι ἀθρόον τι ὀφθήσεται; ἀνάγκη γὰρ κατὰ τοσοῦτον ὁρᾶσθαι, ὅσον ἡ κόρη δέχεται· τοσοῦτον γὰρ καὶ δέξεται τῆς ἀπορροῆς. πῶς δὲ οὐ κάμνει ἡ ὄψις τοσούτων καὶ οὕτως συνεχῶν ἐμπιπτόντων αὐτῇ σωμάτων, οὖσα οὕτως εὐπαθής; ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις ἐπὶ πλέον εἴρηται. Ὁ δὲ Ἀριστοτέλης εἰπὼν ἄλογον δὲ ὅλως τὸ ἐξιόντι τινὶ τὴν ὄψιν ὁρᾶν καὶ ἀποτείνεσθαι μέχρι τῶν ἄστρω ν , ἢ μέχρι τινὸς ἐξιοῦσαν συμφύεσθα ι , καθάπερ ἔλεγόν τινε ς , καὶ τῆς ἑτέρας δόξης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν ἀτοπίαν ἐνδειξάμενος διὰ τοῦ εἰπεῖν ἀποτείνεσθαι μέχρι τῶν ἄστρων (παραλογώτατον γὰρ τοσοῦτον δύνασθαι ἐκπέμπεσθαι σῶμα ἔκ τινος τῶν ὁρώντων, ὡς ἀποτείνεσθαι αὐτὸ μέχρι τῶν ἄστρων [δύνασθαι]), πρὸς τοὺς συμφύεσθαι λέγοντας τὸ ἐκπεμπόμενον φῶς τῷ ἐκτὸς φωτὶ λέγων φησί· τούτου μὲν γὰρ βέλτιον τὸ ἐν ἀρχῇ συμφύεσθαι τοῦ ὄμματο ς , ἀλλὰ καὶ τοῦτο εὔηθε ς .

in Sens.32 λέγει δέ, ὅτι βέλτιον ἦν τοῦ λέγειν τῷ ἐκπεμφθέντι ἐκ τῆς ὄψεως φωτὶ ἐκτὸς γινομένῳ τὸ ἐκτὸς φῶς συμφύεσθαι τὸ λέγειν τὸ ἐκτὸς τῷ ἐντὸς πρὸ τοῦ ἐκπεμφθῆναι συμφύεσθαι πρὸς τῇ κόρῃ καὶ ἐν τῇ κόρῃ· τοῦτο γάρ ἐστι τὸ ἐν ἀρχῇ συμφύεσθαι τοῦ ὄμματο ς . διὰ τί δὲ τοῦτο βέλτιον; ἢ ὅτι οὐδὲν ἐδεῖτο τῆς ἀπὸ τῆς ὄψεως τοῦ φωτὸς ἀπορροίας, εἰ μὴ ἤμελλεν αὐτὸ περιλήψεσθαι τὸ ὁρατόν, ἀλλ' εἶναι μεταξὺ φῶς τὸ τὴν αἰτίαν αὐτοῦ τοῦ ὁρᾶσθαι τὸ ὁρώμενον παρασχόν; ὃ γὰρ τῷ ἐκπεμπομένῳ φωτὶ πρὸς τὸ ὁρᾶν φασιν αὐτὸ συντελεῖν, τοῦτο ἐδύνατο καὶ μὴ ἐκπεμφθέντι συντελεῖν πρὸς αὐτῇ τῇ κόρῃ καὶ χωρὶς ἀπορροίας. πῶς γὰρ τῷ ἐκπεμφθέντι φωτὶ ἡ ὄψις ὁρᾷ καὶ τί πάσχοντι ὑπὸ τοῦ ἐκτὸς φωτός; οὐ γὰρ διαδιδόντος τὸ τοῦ ὁρατοῦ εἶδος· ἄμεινον οὖν ἦν λέγειν ἐντὸς ὄντι αὐτῷ διαδίδοσθαι ὑπ' αὐτοῦ. καὶ γὰρ εἰ μὲν πεφώτισται τὰ μέχρι τῆς κόρης, τί δεῖ δευτέρου φωτὸς τοῦ ἐκπεμπομένου; εἰ δὲ σκότος μέν ἐστι περὶ τῇ κόρῃ, πορρωτέρω δὲ τὸ φῶς, τὸ ἐξιὸν φῶς εἰς σκότος [ἐξιὸν] σβεσθήσεται πρὸ τοῦ συμφυὲς ἐκείνῳ γενέσθαι, εἴγε σβεστικόν ἐστιν αὐτοῦ τὸ σκότος, ὡς λέγουσί τινες· οὕτως δὲ πρὸς οὐδὲν ἂν εἴη χρήσιμον. διὰ δὴ ταῦτα ἄμεινον, φησίν, ἦν τὸ ἐκτὸς φῶς συμφύεσθαι λέγειν τῇ κόρῃ καὶ τῷ ἐν αὐτῇ φωτί. Εὔηθες δὲ καὶ τοῦτο, φησί, καὶ διὰ τί εὔηθες προστίθησι. τό τε γὰρ συμφύεσθαι τί ἐστιν φωτὶ πρὸς φῶ ς ; ὁ γὰρ Πλάτων σύμφυσιν εἶπε γίνεσθαι τοῦ τ' ἐξιόντος ἐκ τῆς ὄψεως φωτὸς καὶ τοῦ ἐκτός.

in Sens.33 λέγων γὰρ τὴν αἰτίαν τοῦ σκότους ὄντος μὴ ὁρᾶν ἔτι τὴν ὄψιν φησίν· "ἀπελθόντος δὲ εἰς νύκτα τοῦ ξυγγενοῦς πυρὸς ἀποτέμνεται. πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γινόμενον ἅτε πῦρ οὐκ ἔχοντι." διότι οὖν [ἐν] ἐκείνῳ τῷ τὸ πῦρ καὶ τὸ φῶς ἔχοντι ἀέρι συμφύεται τὸ ἐξιὸν ἐξ ἡμῶν φῶς, διὰ τοῦτο ὁρᾶν φησιν ἡμᾶς. τὸ δὲ συμφύεσθαι λέγειν φωτὶ φῶς εὔηθες εἶναι λέγει. τί γὰρ τὸ συμφύεσθαι σημαίνει; οὐδὲ γὰρ ἀσωμάτων τὸ συμφύεσθαι οὐδὲ τὸ τυχὸν τῷ τυχόντι συμφύεται, ἀλλὰ δεῖ πρῶτον μὲν σώματα εἶναι τὰ συμφυόμενα, ἔπειτα οἰκειότητά τινα ἔχειν πρὸς ἄλληλα. τὸ δὴ λέγειν τὰς ὄψεις καὶ τὸ ἀπ' αὐτῶν φῶς τῷ ἐκτὸς φωτὶ συμφύεσθαι ἀτοπώτατον· ἀσώματόν τε γὰρ τὸ φῶς, καὶ προσέτι ἐναργὲς τὸ μηδεμίαν σύμφυσιν φωτὸς πρὸς φῶς γίνεσθαι. ὁρῶμεν γὰρ ὅτι, ὅταν φῶς φωτὶ ἀπὸ διαφόρων τῶν φωτιζόντων ἅμα γένηται, οὐδεμία αὐτῶν γίνεται σύμφυσις, ἀλλὰ πάλιν διίσταται διισταμένων τῶν ἀφ' ὧν τὸ φῶς ἐστι· δύο οὖν λύχνων καιομένων ἐν τῷ αὐτῷ ἂν τὸν ἕτερόν τις χωρίσῃ, συγχωρίζεται αὐτῷ καὶ τὸ ἀπ' αὐτοῦ φῶς ἐπιδήλως· ἔλαττον γὰρ τὸ καταλειπόμενον γίνεται. πῶς δ' οὐκ ἄλογον τὸ αὐτὸ ταῖς μὲν ὄψεσι μὴ δύνασθαι ὁρᾶν ἡμᾶς μηδὲ τῷ φωτὶ τῷ ἐκπεμπομένῳ διὰ τῶν ὀμμάτων, τῷ δὲ ταύταις ταῖς ὄψεσι καὶ τῷ φωτὶ τούτῳ συμπεφυκότι, ὅταν προσπέσῃ τινὶ τῶν ὁρατῶν; ἔπειτα δὲ πότερον, κἂν πλειόνων ὄψεις πρὸς τὸ αὐτὸ φῶς προσπέσωσιν, ἅπασαι τούτῳ προσφύονται καὶ πάντες ὁρῶσι διὰ μιᾶς ὄψεως; ἢ τίς ὁ τῆς συμφύσεως αὐταῖς τρόπος; καὶ τίς ἡ τοῦ φωτὸς τοῦ ἑκάστου ἐν τῇ συμφύσει τῇ πρὸς τὴν ἑκάστου τῶν ὁρώντων ἰδίων διαίρεσις; Ἀπορήσας δὲ πῶς λέγειν οἷόν τε φῶς φωτὶ συμφύεσθαι, προσαπορεῖ καὶ πῶς τῇ κόρῃ καὶ τῷ ἐν αὐτῇ φωτὶ τὸ ἐκτὸς φῶς συμφύεται. πῶς γὰρ τὸ ἐντὸς τῆς ὄψεως τῷ ἐκτὸς φωτὶ συμφύεται; εἰ γὰρ τῷ συμφύεσθαι τὸ ἀφ' ἡμῶν τῷ ἐκτὸς τὸ ὁρᾶν ἐστι, πῶς ἐκείνῳ τῷ ἐντὸς συμφύεται τὸ ἐκτός; οὐ γὰρ ἡ κόρη ἐστὶν ἡ ὁρῶσα οὐδὲ ὁ ὀφθαλμός· οὐ γὰρ ἐπὶ τῷ ἐσχάτῳ τοῦ ὄμματος ἡ ψυχὴ οὐδὲ τὸ αἰσθητικό ν , ὥς φησιν, ἀλλά ἐστι τὸ αἰσθητικὸν ἐν ἄλλῳ, ὡς ἔδειξεν ἐν τοῖς Περὶ ψυχῆς.

in Sens.34

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆλον οὖν ὅτι καὶ τῷ ἐντὸς δι’ οὗ ὁρῶμεν ἐνδεῖ τοῦ ἐκτὸς φωτός· πᾶν γὰρ ὁμοίως δεῖ διατίθεσθαι τὸ μέχρι τῆς αἰσθητικῆς ἀρχῆς. ἀλλὰ μὴν οὐχ οἷόν τε λέγειν τὸ ἐκτὸς φῶς συμφύεσθαι τῷ ἐντὸς φωτί· μέση γὰρ ἡ μῆνιγξ οὖσα κωλύσει ταύτην τὴν σύμφυσιν, εἴγε σῶμα τὸ φῶς *** διὰ τὸ ἀσώματα μὴ ἀλλήλοις συμφῦναι. εἰ δὴ δεῖ μὲν συμφῦναι τὸ ἐντὸς φῶς τῷ ἐκτὸς φωτί, ἵνα αἴσθηται ἡ ψυχή, τοῦτο δὲ ἀδύνατον μὴ εἰσιόντος φωτὸς πρὸς αὐτήν, οὐδ’ ἂν ὁρῴη. εἰ γὰρ τῷ μιχθέντι φωτὶ ὁρῶμεν, τὸ δὲ ἐντὸς οὐ μίγνυται τῷ ἐκτός, οὐδ’ ἂν ὁρῴημεν ἐκείνῳ· οὐ γὰρ δὴ ἄκρᾳ ὀψόμεθα τῇ κόρῃ. μήνιγγα δὲ ἂν λέγοι τὸν τὴν κόρην περιέχοντα χιτῶνα· οὕτω καὶ Ἐμπεδοκλῆς λέγων ἐδείχθη πρὸ ὀλίγου ὡς δ’ ὁπό τ ’ ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον φῶ ς . ὥστε ἄμεινον μὲν τοῦ ἐκπέμπεσθαι λέγειν τὸ ἐντὸς φῶς πρὸς τὸ ἐκτὸς εὐθὺς τῇ ἐντὸς χώρᾳ συμφύεσθαι, ἀδύνατον δὲ καὶ οὕτως· τὸ γὰρ ἐκτὸς φῶς οὐκ ἂν συμφύοιτο τῷ ἐντὸς τῷ μέσην εἶναι τὴν μήνιγγα. οὔκ 〈ουν〉 ἂν διὰ τῆς συμφύσεως τοῦ φωτὸς γίνοιτο τὸ ὁρᾶν, εἰ εἴη τὸ φῶς σῶμα καὶ δέοι αὐτὸ ἅψασθαι τοῦ ᾧ συμφύεται. p.

in Sens.35 438b2 Περὶ μὲν οὖν τοῦ μὴ δύνασθαι ὁρᾶν ἄνευ φωτὸς εἴρηται ἐν ἄλλοι ς . Ἀντειπὼν πρὸς τοὺς λέγοντας ἐξιόντι τινὶ ἀπὸ τῆς ὄψεως τὸ ὁρᾶν γίνεσθαι καὶ δείξας πῶς λέγουσιν ἄτοπα, λέγει αὐτὸς τὴν αὑτοῦ δόξαν. καὶ περὶ μὲν τοῦ μὴ δύνασθαι ὁρᾶν ἄνευ φωτός φησιν ἐν ἄλλοις εἰρῆσθαι · εἴρηκε δὲ ἐν τοῖς Περὶ ψυχῆς. τὸ γὰρ χρῶμα, ὅπερ ἐστὶν ὁρατὸν καθ’ αὑτό, εἶπε κινητικὸν εἶναι τοῦ κατ’ ἐνέργειαν διαφανοῦς, κατ’ ἐνέργειαν δὲ διαφανὲς τὸ πεφωτισμένον, ἐπειδὴ καὶ τὸ φῶς ἐτέθη ἐνέργεια εἶναι τοῦ διαφανοῦς ᾗ διαφανές. εἴτε οὖν φῶς τὸ μεταξὺ τοῦ τε ὁρωμένου καὶ τῆς ὁρώσης ὄψεως εἴτε ἀὴρ πεφωτισμένος, ἡ διὰ τούτου γινομένη κίνησις ὑπὸ τοῦ ὁρατοῦ ἐστιν ἡ τοῦ ὁρᾶν αἰτία· κινητικὸν γὰρ τὸ ὁρατὸν τῆς τοιαύτης φύσεως. τὸ δὲ εἴτε φῶς εἴτε ἀήρ ἐστι τὸ μεταξὺ εἶπεν, ὅτι τὸ φῶς μὲν αἴτιον, οὐ μὴν τοῦτο χωρὶς ἀέρος ἢ ἄλλου τινὸς διαφανοῦς οἷόν τε εἶναι· τῆς γὰρ τοιαύτης φύσεως ἔδειξε τὸ φῶς εἶδός τε καὶ ἐντελέχειαν ὄν. τὸ οὖν εἴτε ἀὴρ ἴσον ἐστὶ τῷ ‘εἴτε σῶμά τι τοιοῦτον οἷον ἔχειν ἐν αὑτῷ τὸ φῶσ‘. Διὸ καὶ εὐλόγω ς , φησί, τὸ ἐντός ἐστιν ὕδατος (τουτέστιν ἡ κόρη· αὕτη γὰρ ἐντός, ἀλλ’ οὐ μεταξύ ἐστι τοῦ τε ὁρωμένου καὶ τοῦ ὄμματος)· τὸ γὰρ ὕδωρ διαφανὲς καὶ τοιοῦτον οἷον δέχεσθαι τὸ φῶς. δεῖ γὰρ ὥσπερ τὸ ἐκτὸς τὸ μεταξὺ πεφωτίσθαι, οὕτω καὶ τὸ ἐντὸς τὸ μέχρι τῆς αἰσθήσεώς τε καὶ τῆς αἰσθητικῆς δυνάμεως πεφωτίσθαι, εἰ μέλλει τι ὁραθήσεσθαι. ὡς γὰρ ἔξω μὴ ὄντος φωτὸς ἀδύνατον ὁραθῆναί τι, οὕτως οὐδὲ ἐντός, εἰ μὴ φωτισθείη τὸ μέχρι τῆς αἰσθητικῆς ψυχῆς, οὐκ ἂν ὁραθείη τι. διὸ καὶ τὸ ἐντὸς 〈χρὴ〉 διαφανὲς εἶναι καὶ τοιοῦτον οἷον φωτίζεσθαι. ἀναγκαῖον ἄρα ὕδωρ εἶναι τοῦτο, ἐπεὶ μὴ ἀήρ ἐστιν. ἔλαβε δὲ μὴ εἶναι 〈ἀέρα〉 τὸ ἐντὸς τοῦ ὀφθαλμοῦ, ἤτοι ὅτι μὴ λέγει τις τοῦτο, ἢ ὅτι μὴ φαίνεται μήτε ἐν ταῖς ἀνατομαῖς μήτε ἐν ταῖς πληγαῖς ἀὴρ ἐμπεριειλημμένος ἐκεῖ, ἢ ὅτι δεῖ μέν, ὥσπερ εἴρηκε, διαφανὲς εἶναι τὸ ἐντὸς τοῦ ὀφθαλμοῦ, εὐφυλακτότερον δὲ καὶ εὐυποληπτότερον τὸ ὕδωρ τοῦ ἀέρος, κατ’ ἄμφω δὲ εὐφυλακτότερον, ὅτι τε οὐ μόνον διαφανὲς ἀλλὰ καὶ ἐμφανές, ὡς μᾶλλον τὰ εἴδη τῶν ὁρατῶν δέχεσθαι, καὶ ὅτι μᾶλλον στέγειν τι καὶ φυλάσσειν δύναται· ὁ γὰρ ἀὴρ ῥευστός τε καὶ διαπνευστός.

in Sens.36 p. 438b8 Οὐ γὰρ ἐπὶ τοῦ ἐσχάτου ὄμματος ἡ ψυχὴ ἢ τῆς ψυχῆς τὸ αἰσθητικό ν . Εἰπὼν ὁρᾶται δὲ ὥσπερ καὶ ἔξω οὐκ ἄνευ φωτό ς , οὕτω καὶ ἐπὶ τοῦ ἐντὸς τοῦ δεῖν καὶ τὸ ἐντὸς διαφανὲς εἶναι αἰτίαν παρατίθεται, ὅτι μή ἐστιν ἡ ψυχὴ καὶ ἡ ὁρατικὴ δύναμις ἐν τῷ ὀφθαλμῷ. εἰ γὰρ ἦν ἐπ’ ἄκρου τοῦ ὀφθαλμοῦ, οὐδὲν ἔδει τὸ ἐντὸς εἶναι διαφανές· αὔταρκες γὰρ ἂν ἦν τὸ ἐκτός. ἐπεὶ δὲ οὔκ ἐστιν αὐτοῦ (ἦν γὰρ ἂν καὶ ἐπὶ τῶν ἄλλων αἰσθητηρίων ὁμοίως· οὕτως δὲ οὐκ ἂν ἦν συναίσθησίς τις γινομένη, ἄλλου μορίου τῆς ψυχῆς ἐν ἄλλῳ ὄντος καὶ ἐπ’ ἄλλου τεταγμένου, οὐδ’ ἂν ἐδυνάμεθα ὅτι ἕτερα τὰ ὧν αἰσθανόμεθα ἀλλήλων τοῖς διαφόροις αἰσθητηρίοις κρίνειν, μὴ ἔχοντες ἓν τὸ ἀντιλαμβανόμενον αὐτῶν, ὡς εἶπεν ἐν τοῖς Περὶ ψυχῆς· τοῦ γὰρ αἰσθανομένου τινῶν τὸ καὶ τὰς διαφορὰς κρίνειν αὐτῶν. ὥσπερ γάρ, εἰ ἄλλος μὲν ἤκουεν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλος δὲ ἑώρα, οὐχ οἷόν τε ἦν κρίνειν τὸν ὁρῶντα τὰ τοῦ ἀκούοντος, οὕτως δὲ καὶ ἐφ’ ἡμῶν ἀπηρτημέναι ἂν ἦσαν αἱ δυνάμεις ἀλλήλων), οὐχ οὕτως δὲ ἔχοντος ὁρῶμεν (ὅτι δὲ οὐκ ἐπ’ ἄκρου τοῦ ὀφθαλμοῦ ἡ ὁρατικὴ ψυχὴ καὶ ὅτι τὸ μέχρι τῆς δυνάμεως ἐκείνης διαφανές ἐστι, δι’ οὗ φωτιζομένου τὸ ὁρᾶν γίνεται, πιστοῦται καὶ ἐκ τῶν ἀποβαινόντων· τρωθεῖσι γάρ, φησίν, ἐν πολέμῳ τισὶ περὶ τὸν κρόταφον οὕτω ς , ὥστε ἀποτμηθῆναι τοὺς τοῦ ὄμματος πόρου ς , ἐν οἷς τὸ διαφανές, ἔδοξεν ἐξαίφνης σκότος γίνεσθαι ὡς ἀποσβεσθέντος λύχνου, διὰ τὸ ἀποτμηθῆναι ἀπὸ τοῦ μετὰ τὴν κόρην διαφανοῦς τὴν κόρην οὖσαν ὥσπερ τινὰ λαμπτῆρα φωτίζοντα, δι’ ἧς τὸ ἐντὸς πᾶν τὸ μέχρι τῆς ὁρατικῆς δυνάμεως ἐφωτίζετο ἀπὸ τοῦ ἐκτὸς φωτός, οὗ τὴν συνέχειαν ἡ πληγὴ διελοῦσα καὶ κωλύσασα αὐτὸ φωτίζεσθαι ὥσπερ ἔσβεσε τὸ ἐν αὐτῷ φῶς), εἰ δὲ μὴ ἄκρῳ τῷ ὀφθαλμῷ ὁρῶμεν, καὶ διὰ τοῦτο δεῖ καὶ τὸ ἐντὸς διαφανὲς εἶναι τὸ μέχρι τῆς αἰσθητικῆς ψυχῆς.

in Sens.37 οὐ διαφανὲς δὲ τὸ πῦρ, ὡς ἡ ὄψις. p. 438b16 Ὥσ τ ’ εἴπερ ἐπὶ τούτων συμβαίνει καθάπερ ἐλέγομε ν . Δείξας τὴν ὄψιν ὕδατος οὖσαν, εἰ οὕτως, φησίν, ἐπὶ τῆς ὄψεως ἔχει καὶ διὰ τοῦτο, καθὰ ἐγλίχοντό τινες, ἕκαστον αἰσθητήριον ἑκάστῳ τῶν στοιχείων ἀνατίθεται, τὴν μὲν ὄψιν ὕδατος εἶναι θετέον, τὴν δὲ ἀκοὴν ἀέρος (αὕτη δὲ ἡ τῶν ψόφων ἀκουστική), τὴν δὲ ὄσφρησιν πυρός. Καὶ πῶς οἷόν τε προσβιβάζειν καὶ δεικνύναι ὅτι ἡ ὄσφρησις πυρός, λέγει· ὃ γὰρ ἐνεργείᾳ ἡ ὄσφρησι ς , τοῦτο δυνάμει τὸ ὀσφραντικό ν , διὰ τούτου δεικνὺς οὕτως ἐκ πυρός (τοὐναντίον γάρ, ὡς δείξει ἄλλοθι, ἡ ἐνέργεια 〈καὶ ἡ δύναμις, ἡ δὲ ἐνέργεια〉 περὶ τὴν ὄσφρησιν, ἀλλ’ οὐ τὸ ὀσφραντικόν), καίτοι ἐπὶ τῆς ὄψεως εἰπὼν τὸ ὁρατικὸν ὕδατος εἶναι καὶ ἐπὶ τῆς ἀκοῆς ἀέρος τὸ τῶν ψόφων αἰσθητικό ν . ἔστι δὲ ὃ λέγει ‘ὅ ἐστι κατ’ ἐνέργειαν ἡ ὄσφρησις, τοῦτο δυνάμει ἐστὶ τὸ ὀσφραντικόν‘· δυνάμει γὰρ τὰ ὁρατὰ ἡ ὄψις πρὸ τοῦ ὁρᾶν, καὶ δυνάμει τὰ ἀκουστὰ ἡ ἀκοὴ πρὶν ἀκούειν, καὶ ἡ ὄσφρησις οὖν δυνάμει τὰ ὀσφραντὰ πρὶν ὀσφρᾶσθαι. ἡ γὰρ κατ’ ἐνέργειαν ὄσφρησις τὸ ὀσφραντόν ἐστιν, ὥσπερ ἡ κατ’ ἐνέργειαν ὄψις τὸ ὁρατόν, εἴ γε τῇ τῶν εἰδῶν τῶν αἰσθητῶν λήψει τὸ αἰσθάνεσθαι, καὶ εἴη ἂν ὃ λέγει ὃ γὰρ ἐνεργείᾳ ἡ ὄσφρησι ς , τοῦτο δυνάμει τὸ ὀσφραντικόν ἐστι.

in Sens.38 ἡ δ’ ἐνεργείᾳ ὄσφρησις ἡ αὐτὴ τῷ κατ’ ἐνέργειαν ὀσφραντῷ· τὸ γὰρ ὀσφραντὸν καὶ ἡ κατ’ ἐνέργειαν ὄσφρησις τὸ αὐτό. ἀλλὰ μὴν τὸ ὀσφραντὸν καὶ ἡ ὀσμή, ἧς ἡ ὄσφρησις ἀντιλαμβάνεται, ξηρὰ καὶ καπνώδης ἐστὶν ἀναθυμίασις · ἡ δὲ τοιαύτη ἀναθυμίασις πυρώδης τε καὶ ἐκ πυρός (τοῦτο δὲ δῆλον ἔκ τε τῶν θυμιωμένων—ὀσμὴν γὰρ τότε μάλιστα ποιεῖ—, καὶ τὰ ἄνθη δὲ ἐν θερμοτέρῳ ἀέρι πλείονα τὴν ὀσμὴν ποιεῖ, ὥσπερ τινὸς ἀναθυμιάσεως γινομένης ἀπ’ αὐτῶν)· διὰ γὰρ τῆς τοιαύτης ἀναθυμιάσεως ἡ εἰς πῦρ μεταβολή. ἐρεῖ δὲ προϊὼν περὶ τοῦ τί ποτέ ἐστι τὸ ὀσφραντόν· τοιαύτη γὰρ καὶ ἡ κατ’ ἐνέργειαν ὄσφρησις. Προσβιβάζων δὲ πῶς ἄν τις τὴν ὄσφρησιν τοῦ πυρὸς εἶναι λέγοι βουλόμενος ἕκαστον αἰσθητήριον ἑκάστῳ τῶν στοιχείων ἀνατιθέναι (οὐ γὰρ δὴ ἀρέσκοντα αὐτῷ λέγει· εἶπε γὰρ ἐν τοῖς Περὶ ψυχῆς μήτ’ ἐκ πυρὸς μόνου μήτ’ ἐκ γῆς εἶναί τι δύνασθαι αἰσθητήριον, καὶ τήν γε ὄσφρησιν ἐν ἐκείνοις ἀνέθηκεν ἢ ἀέρι ἢ ὕδατι) φησὶ δὴ καὶ κατὰ τοῦτο δύνασθαι δείκνυσθαι τὴν ὄσφρησιν πυρὸς οὖσαν, ὅτι τὸ τῆς ὀσφρήσεως αἰσθητήριον περὶ τὸν ἐγκέφαλόν ἐστι. δεῖ μὲν γὰρ τὴν τοῦ θερμοῦ ὕλην ψυχρὰν εἶναι, ψυχρότερος δὲ ὁ ἐγκέφαλος τῇ αὑτοῦ φύσει. τοιαύτη ἄρα καὶ ἡ δυνάμει ὄσφρησις καὶ τὸ δυνάμει ὀσφραντικόν. ἀλλ’ εἰ τὸ δυνάμει τι ὂν ὕλη ἐκείνου ὃ δυνάμει, δυνάμει δὲ καὶ ἡ ὄσφρησις τὸ ὀσφραντὸν 〈ὂν〉 εἴη ἂν ὕλη τοῦ ὀσφραντοῦ, ὕλη δὲ τὸ ψυχρὸν τοῦ θερμοῦ καὶ ἔστι ψυχρὸν τὸ ὀσφραντικὸν τῷ ἀπὸ τοῦ ἐγκεφάλου τε καὶ περὶ τὸν ἐγκέφαλον εἶναι, τὸ ὀσφραντὸν ἄρα θερμόν. εἰ δὲ τοῦτο, ἡ κατ’ ἐνέργειαν ὄσφρησις θερμή τε καὶ διὰ θερμοῦ γινομένη παρουσίαν, καὶ οὕτως ὁ λέγων τὴν ὄσφρησιν πυρὸς εἶναι εὖ ἂν δοκοίη λέγειν.

in Sens.39

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυνάμει γὰρ θερμὴ ἡ τοῦ ψυχροῦ ὕλη ἐστὶν ἀντὶ τοῦ ‘ἡ ἐκ τοῦ ψυχροῦ‘. οὐ τὸ αἰσθητήριον οὖν δείκνυσι πυρός, ὅτι ἡγεῖται τὴν ἀρχὴν ἀδύνατον τοῦτο, ἀλλὰ τὸ ὀσφραντὸν καὶ τὴν κατ’ ἐνέργειαν ὄσφρησιν. Λέγει δὲ καὶ τὴν τοῦ ὄμματος γένεσιν τὸν αὐτὸν ἔχειν τρόπον· ἀπὸ γὰρ τοῦ ἐγκεφάλου τὴν σύστασιν ἔχει, ὃς ὑγρότατός τε καὶ ψυχρότατος τῶν ἐν τῷ σώματι μορίων ἐστ ί . τοιοῦτον δὲ τὸ ὕδωρ, δι’ οὗ ἡ ὄψις ἀπὸ τοῦ ἐγκεφάλου τὴν γένεσιν ἔχουσα *** οὐ πυρός, ἀλλὰ ὕδατός εἰσι, δῆλον ὅτι οὐδ’ ἂν ἡ ὄσφρησις πυρός, εἴ γε ἐξ ἐκείνου, εἴη. προελθὼν μέντοι λέγει διὰ τοῦτο εἶναι τὴν ὄσφρησιν καὶ τὸ αἰσθητήριον τοῦτο περὶ τὸν ἐγκέφαλον, ὅπως εἰς συμμετρίαν αἰσθήσεως ἄγηται ὁ περὶ τὸν ἐγκέφαλον τόπος. τὰ γὰρ ὀσφραντὰ καὶ ἡ ὀσμὴ θερμά· τοιαύτη γὰρ ἡ καπνώδης ἀναθυμίασις. ἀλλ’ εἴ τις ἕποιτο τοῖς εἰρημένοις, λέγοι ἂν ὁμοίως τῇ ὀσφρήσει καὶ τὴν ὄψιν εἶναι θερμοῦ τε καὶ πυρός, εἴγε τὸ μὲν ψυχρὸν ὕλη ἐστὶ τῶν ὁρατῶν, τούτοις δὲ ἡ αὐτή ἐστιν ἡ κατ’ ἐνέργειαν ὄψις, ὡς τοῖς ὀσφραντοῖς ἡ ὄσφρησις. ἀλλὰ δῆλον ὡς ἄλλως ἐπιχειρῶν ταῦτα λέγει, οὐχ ὡς ἀρεσκόμενος αὐτοῖς. ἢ ἀμφότερα μὲν περὶ τὸν ἐγκέφαλον ψυχρὸν ὄντα, ἀλλὰ τὸ μὲν ὀσφραντικόν, ᾗ ψυχρόν ἐστιν, ὀσφραντικόν (διὸ καί, ᾗ τοιοῦτον, αἰσθητικὸν δυνάμει καὶ θερμόν), τὸ δὲ ὁρατικὸν οὐχ ᾗ ψυχρὸν ὁρατικόν, ἀλλ’ ᾗ ὑγρόν τε καὶ διαφανές· διαφανοῦς γὰρ ἐνέργεια τό τε φῶς καὶ τὸ χρῶμα. Τὴν δὲ ἁφὴν ἀναθετέον, φησί, τῇ γῇ, ὁμοίως δὲ καὶ τὸ γευστικὸν ὄργανον, ἐπεὶ ἡ γεῦσις ἁφῆς τι εἶδος, ὡς εἶναι τῶν τεσσάρων σωμάτων γῆς μὲν τὰς δύο, ἁφήν τε καὶ γεῦσιν, ὕδατος δὲ τὴν ὄψιν, ἀέρος δὲ τὴν ἀκοήν, πυρὸς δὲ τὴν ὄσφρησιν. ὅτι δὲ μὴ ἀρεσκόμενος ταύτῃ τῇ δόξῃ, ἀλλὰ πιθανολογῶν τίθησι, πρόδηλον· ἔδειξε γὰρ ὅτι μὴ οἷόν τε ἐκ γῆς εἶναί τι αἰσθητήριον καὶ διὰ τοῦ τῶν ἐν ἡμῖν ὅσα πλέον γῆς ἔχει ἀναίσθητα εἶναι, ὡς τρίχας, ὄνυχας, ὀστᾶ. ἀλλὰ καὶ τὴν γεῦσιν ἐν ὑγρότητι καὶ δι’ ὑγρότητος γινομένην ἔδειξεν. ἢ οὐδὲ νῦν τὰ αἰσθητήρια ἐκ γῆς φησιν ὄντα, ἀλλὰ τὰς ἐνεργείας αὐτῶν τοιαύτας γίνεσθαι, ὃν τρόπον ἔδειξε καὶ ἐπὶ τῆς ὀσφρήσεως.

in Sens.40 Ἔτι δὲ πιθανολογῶν καὶ δεικνὺς πῶς ἄν τις ἐπιχειρήσειεν πρὸς τὸ ἑκάστην αἴσθησιν ἑκάστου τῶν στοιχείων εἶναι καὶ ἐξ οὗ, προστίθησι λέγων· καὶ διὰ τοῦτο πρὸς τῇ καρδίᾳ τὸ αἰσθητήριον αὐτῶ ν , τῆς γεύσεως καὶ τῆς ἁφῆς · ἀντίκειται γὰρ τῷ ἐγκεφάλῳ αὕτ η , καί ἐστιν θερμότατον τῶν μορίω ν . εἰπὼν γὰρ ἐκ πυρὸς τὴν ὄσφρησιν εἶναι καὶ διὰ τοῦτο περὶ τὸν ἐγκέφαλον εἶναι τὸ τῆς ὀσφρήσεως ἴδιον αἰσθητήριον (ὕλη γὰρ τὸ ψυχρὸν τῷ θερμῷ, ἐπεὶ καθόλου τὸ ἐναντίον τῷ ἐναντίῳ ὕλη· θερμὴ δὲ ἡ ὄσφρησις, εἴγε τῆς καπνώδους ἀναθυμιάσεως), πάλιν φησὶ διὰ τοῦτο τὰ τῆς ἁφῆς τε καὶ τῆς γεύσεως ὄργανα εἶναι περὶ τῇ καρδίᾳ, ὡς τούτων μὲν τῶν αἰσθητηρίων ὄντων θερμῶν τῇ αὐτῶν φύσει (ἡ γὰρ σὰρξ οὐ τοιαύτη), τῆς δὲ ἐνεργείας αὐτῶν περὶ ψυχρὰ γινομένης μᾶλλον, εἴγε γῆς καὶ τῶν ἀντιτυπίαν ἐχόντων γεωδῶν μάλιστα ἡ ἁφὴ ἀντιλαμβάνεται. οὐδὲ τοῦτο δὲ ὑγιῶς δόξει λέγεσθαι· οὐδὲ γὰρ ἡ ἁφὴ γῆς (ὡς εἶπε πρὸ ὀλίγου περὶ τῆς ὀσφρήσεως λέγων πυρὸς δὲ τὴν ὄσφρησι ν) , ἀλλ’ εἶπε τὸ δὲ ἁπτικὸν γῆ ς , τὸ αἰσθητήριον οὕτω γῆς λέγων· οὐ θερμὸν δὲ ἡ γῆ. μήποτ’ οὖν οὐχ ὡς ὁμοίων οὐσῶν τῶν αἰσθήσεων καὶ κατὰ τὸν αὐτὸν λόγον περὶ τῇ καρδίᾳ, καθ’ ὃν [ἡ] περὶ τῷ ἐγκεφάλῳ ἥ τε ὄσφρησις καὶ ἡ ὄψις, λέγει, ἀλλ’ ὅτι ὁμοίως ὡς περὶ ἐκείνῳ ὄντι ψυχροτάτῳ τῶν ἐν τῷ σώματι μορίων ἥ τε ὄσφρησις καὶ ἡ ὄψις, οὕτω περὶ τῇ καρδίᾳ ἥ τε ἁφὴ καὶ ἡ γεῦσις οὔσῃ θερμοτάτῃ τῶν μορίων. θερμὴ γὰρ ἡ καρδία καὶ κατὰ τοῦτο ἀντικειμένη τῷ ἐγκεφάλῳ· διὸ ἐκεῖνος μὲν ὕλη τῷ θερμῷ, ἡ δὲ καρδία τῷ ψυχρῷ. οὐκέτι περὶ τὸν ἐγκέφαλον δὲ λέγων αἰσθητήριά τινα εἶναι ἤδη καὶ τὴν αἰσθητικὴν ψυχὴν τὴν διὰ τούτων αὐτοῦ λέγει εἶναι· διὰ γὰρ τοῦτο εἰπὼν διὸ καὶ περὶ τὸν ἐγκέφαλον προσέθηκε τῷ τόπ ῳ . μίαν γὰρ τῷ ἀριθμῷ τὴν αἰσθητικὴν ψυχὴν λέγει, καὶ ταύτην ἐν τῇ καρδίᾳ λέγει. διὸ οὐδὲ τὰ πρὸς τῷ ἐγκεφάλῳ ὄργανα αἰσθητικὰ ἀπὸ τούτου τὴν ἀρχὴν ἔχει, ἀλλ’ ἄρχεται μὲν ἀπὸ τῆς καρδίας, διὰ δὲ τούτου πρώτου ἡ ὁδὸς αὐτῶν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ γὰρ τῆς καρδίας πόροι τινὲς ἐπὶ τὸν ἐγκέφαλον διατείνουσι τρεῖς, εἶτα ἀπὸ τοῦ ἐγκεφάλου ὁ μὲν αὐτῶν ἐπὶ τὴν ὄψιν, ὁ δὲ ἐπὶ τὴν ἀκοήν, ὁ δὲ ἐπὶ τὴν ὄσφρησιν καθήκουσιν.

in Sens.41 οἱ δὲ τῆς ἁφῆς καὶ τῆς γεύσεως εὐθὺς ἐπὶ τὴν καρδίαν ἐπ' εὐθείας τέτανται, ἀλλ' οὐ διὰ τῆς ἐπὶ τὸν ἐγκέφαλον ὁδοῦ. Εἰπὼν δὲ ταῦτα περὶ τῶν αἰσθητηρίων ἑξῆς ἐπὶ τὸν τῶν αἰσθητῶν μέτεισι λόγον τῶν καθ' ἕκαστον αἰσθητήριον (οὐ γὰρ περὶ τῶν κοινῶν αἰσθητῶν νῦν λέγει). καθόλου μὲν οὖν τί τὸ ἔργον αὐτῶν ἐστιν ἑκάστου ἐν τοῖς Περὶ ψυχῆς φησιν εἰρῆσθαι (τίνες δέ εἰσιν οἱ καθόλου περὶ αὐτῶν λόγοι προστίθησιν)· ὅτι γὰρ τὸ διατιθέναι πως τήν τε αἴσθησιν καὶ τὸ αἰσθητήριον, καὶ ὅτι τὸ ἐνεργεῖν κα θ ' ἕκαστον τῶν αἰσθητηρίων τό τε εἶδος τῶν αἰσθητῶν χωρὶς τῆς ὑποκειμένης ὕλης αὐτοῖς δέχεσθαι, καὶ ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις καὶ τὸ αἰσθητὸν τὰ αὐτά, περὶ τούτων προείρηται. τί δέ ποτε ἕκαστον 〈ὂν〉 τῶν ἑκάστῃ αἰσθήσει αἰσθητῶν αἰσθητὸν τῇ οἰκείᾳ αἰσθήσει γίνεται, νῦν λέγει τε καὶ προστίθησι τὴν ἑκάστου αὐτῶν φύσιν, τίς ποτέ ἐστι δεικνύς, ἐπεὶ μὴ ταὐτὸν αὐτοῖς τό τε εἶναι καὶ τὸ αἰσθητοῖς εἶναι. κοινὸν μὲν οὖν τὸ αἰσθητόν, περὶ οὗ εἴρηται (τὸ γὰρ αἰσθήσει ἀντιληπτόν), ἴδιον δὲ ἑκάστου ἡ οἰκεία φύσις τε καὶ οὐσία, καθ' ἣν διαφέροντα ἕτερά τε ἀλλήλων ἐστὶ καὶ οὐ τῇ αὐτῇ αἰσθήσει αἰσθητὰ πάντα. τὸ δὲ ὁμοίως καὶ περὶ ἁφῆς ἐπισκεπτέον εἶπεν ἀντὶ τοῦ 'περὶ ἁπτοῦ'· τοῦτο γὰρ τὸ αἰσθητόν, ἡ δὲ ἁφὴ αἴσθησις. καὶ πρῶτόν γε περὶ χρωμάτων εἰπεῖν προτίθεται, ἅ ἐστι τῇ ὄψει αἰσθητά. p. 439a12 Ἔστι μὲν οὖν ἕκαστον διχῶς λεγόμενο ν , τὸ μὲν ἐνεργεί ᾳ , τὸ δὲ δυνάμει [λεγόμενον]. Εἴρηται δὲ ἡ διαίρεσις αὕτη ἐν τοῖς Περὶ ψυχῆς. τὸ μὲν οὖν ἐνεργείᾳ αἰσθητὸν πῶς ταὐτὸν τῇ κατ' ἐνέργειαν αἰσθήσει καὶ πῶς ἕτερον ἐν τοῖς Περὶ ψυχῆς φησιν εἰρῆσθαι· εἴρηται δὲ ὅτι τῷ μὲν ἀριθμῷ ἓν τὸ κατ' ἐνέργειαν αἰσθητὸν καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις, τῷ λόγῳ δὲ ἕτερα.

in Sens.42 ἄλλο δέ ἐστι τῷ λόγῳ κατ' ἐνέργειαν αἰσθήσει εἶναι καὶ ἄλλο κατ' ἐνέργειαν αἰσθητῷ. ἀντὶ δὲ τοῦ ταῦτα εἰπεῖν φησι· τὸ μὲν οὖν ἐνεργείᾳ χρῶμα καὶ ὁ ψόφος 〈πῶς ἐστι τὸ αὐτὸ ἢ ἕτερον ταῖς κα τ ' ἐνέργειαν αἰσθήσεσιν 〉 . οὐ γὰρ τὸ κατ' ἐνέργειαν χρῶμα ταὐτόν ἐστι τῇ κατ' ἐνέργειαν ὄψει οὐδὲ ὁ κατ' ἐνέργειαν ψόφος ὁ αὐτὸς τῇ ἀκοῇ· δύναται γὰρ ἐνεργείᾳ ταῦτα εἶναι καὶ μὴ ὁρώμενα, ἀλλ' οὐκέτι οἷόν τε ἐνεργείᾳ αὐτοῖς αἰσθητοῖς εἶναι χωρὶς αἰσθήσεως. ἔστιν οὖν τὸ λεγόμενον· 'τὸ μὲν οὖν ἐνεργείᾳ χρῶμα αἰσθητὸν καὶ ὁ ἐνεργείᾳ ψόφος αἰσθητὸς πῶς ἐστι ταὐτὰ τὸ μὲν τῇ κατ' ἐνέργειαν ὄψει, τὸ δὲ τῇ κατ' ἐνέργειαν ἀκοῇ, καὶ κατὰ τί ἕτερα, ἐν τοῖς Περὶ ψυχῆς εἴρηται'. ἐδήλωσε δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ταῖς κα τ ' ἐνέργειαν αἰσθήσεσι · ταύταις γὰρ τὰ κατ' ἐνέργειαν αἰσθητὰ ἀντίκειται. τί δὲ ὂν ἕκαστον αὐτῶν, τό τε χρῶμα καὶ ὁ ψόφος καὶ ἕκαστον τῶν κατὰ τὰς ἄλλας αἰσθήσεις ὁμοίως, δυνάμει ἐστὶν αἰσθητὸν (διὰ γὰρ τοῦ εἰπεῖν ποιήσει τὴν αἴσθησιν καὶ τὴν ἐνέργειαν τὸ δυνάμει αἰσθητὸν ἐδήλωσεν), ὅπερ ἦν τὸ ἕτερον τῶν εἰς ἃ ἡ διαίρεσις αὐτῷ τοῦ αἰσθητοῦ ἐγεγόνει, περὶ οὖν τοῦ οὕτως αἰσθητοῦ νῦ ν , φησί, λέγωμε ν , τουτέστι τοῦ δυνάμει. p. 439a18 Ὥσπερ οὖν εἴρηται περὶ φωτὸς ἐν ἐκείνοι ς , ὅτι ἐστὶ χρῶμα τοῦ διαφανοῦς κατὰ συμβεβηκό ς . Ὑπομιμνήσκει ἡμᾶς τῶν ἐν τοῖς Περὶ ψυχῆς εἰρημένων περὶ φωτός, ὅτι ἐστὶ χρῶμα τοῦ διαφανοῦς κατὰ συμβεβηκό ς . ἐδείχθη γὰρ ἐν ἐκείνοις ὅτι τὸ φῶς ἐστιν ἐντελέχεια τοῦ διαφανοῦς, ᾗ διαφανές, καὶ ὥσπερ χρῶμα τοῦ διαφανοῦς, οὐχ ἁπλῶς, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι μὴ παθητικῶς ἀναδέχεται τὸ διαφανὲς τὸ φῶς, ἀλλὰ κατὰ σχέσιν τὴν πρὸς αὐτὸ ποιὰν τοῦ φωτίζειν πεφυκότος ποτὲ μὲν πεφώτισται, ποτὲ δὲ οὔ.

in Sens.43 διὸ οὐκ οἰκεῖον αὐτοῦ χρῶμα τὸ φῶς ὥσπερ τῶν ἄλλων τῶν κεχρωσμένων· ἐν ἐκείνοις μὲν γὰρ μένει τὸ χρῶμα ὡς οἰκεῖον ὄν, ἐπὶ δὲ τοῦ φωτὸς οὐχ οὕτως· καὶ [ὁ] αὐτὸς ἐξηγούμενος προσέθηκε τὸ ὅταν γὰρ ᾖ τι πυρῶδες ἐν διαφανε ῖ . καὶ τὸ μὲν κατὰ συμβεβηκὸς χρῶμα τοιοῦτον· πῶς δὲ γίνεται κατὰ σχέσιν πυρώδους τινὸς ἐν διαφανεῖ προσέθηκεν (ἡ μὲν γὰρ παρουσία τοῦ τοιούτου ἐν διαφανεῖ φῶ ς , ἡ δὲ ἀπουσία σκότο ς) , πῶς κατὰ συμβεβηκὸς φῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ χρῶμα τοῦ διαφανοῦς ὑπομιμνῄσκων. τῷ δὲ ὥσπερ οὖν εἴρηται περὶ φωτὸς ἐν ἐκείνοις ὅτι ἐστὶ χρῶμα τοῦ διαφανοῦς οὐδὲν δοκεῖ ἀνταποδεδόσθαι. εἴη δ’ ἂν ἀκόλουθον τὸ ‘κείσθω τοῦτο καὶ μενέτω‘, μεθ’ ὃ εἴη ἂν τὸ ὃ δὲ λέγομεν διαφανὲς οὐκ ἔστιν ἴδιον ἀέρος ἢ ὕδατο ς . μέλλων δὲ περὶ χρωμάτων λέγειν εὐλόγως ὑπομιμνῄσκει ἡμᾶς ὅτι καὶ τὸ φῶς χρῶμα ὂν μάλιστά τε καὶ πρῶτον 〈ὁρατόν〉 , εἴγε δι’ αὐτοῦ καὶ ἡ τῶν ἄλλων χρωμάτων αἴσθησις οὐκ ἐν ἄλλῳ τινὶ γίνεται ἢ ἐν διαφανεῖ, δεικνὺς καὶ συνιστὰς διὰ τούτου ὅτι ἡ τοιαύτη φύσις χρωμάτων ἐστὶ δεκτική. Λαβὼν δὲ τὸ φῶς χρῶμα ὂν ἐν διαφανεῖ γίνεσθαι, ἑξῆς τίς ἐστιν ἡ φύσις τοῦ διαφανοῦς ἡ τῶν χρωμάτων δεκτικὴ καὶ ἐν τίσιν ἐστὶ καὶ τίς ἡ τῶν διαφάνειαν ἐχόντων σωμάτων πρὸς ἄλληλα διαφορὰ ἐνδείκνυται· εἶτα καὶ τὴν τῶν κεχρωσμένων πρὸς τὰ πεφωτισμένα δείξει διαφοράν, καὶ ὅτι εὐλόγως τὰ μὲν οἰκεῖον ἔχει τὸ χρῶμα καὶ τοῦτο ἐν τῷ πέρατι, τὰ δὲ πεφωτισμένα οὔτε οὕτως οὔτε ἐν τούτῳ. ὃ γὰρ λέγομε ν , φησί, διαφανὲς οὐκ ἔστιν ἴδιον ἀέρος ἢ ὕδατο ς , ὧν ἐστί τε καὶ γίνεται τὸ φῶς χρῶμα κατὰ συμβεβηκός. εἰπὼν δὲ ὅτι μὴ ἴδιον τὸ διαφανὲς ἀέρος ἢ ὕδατος, προσέθηκεν ὅτι μηδὲ ἄλλου τινὸς τῶν οὕτως λεγομένων σωμάτων · λέγονται γὰρ διαφανεῖς λίθοι τινές.

in Sens.44 οὐδὲ τούτων οὖν τινος ἴδιον ἡ διαφάνεια, ἀλλ’ ἔστι κοινὴ φύσις τις καὶ δύναμις οὐ χωριστὴ οὖσα οὐδὲ καθ’ αὑτὴν ὑφίστασθαι δυναμένη, ὥσπερ οὖν οὐδ’ ἄλλη τις δύναμις, ἀλλ’ ἔν τε τούτοις οὖσα ἃ διαφανῆ λέγομεν, ἀέρι λέγω καὶ ὕδατι, καὶ ὧν κατηγοροῦμεν τὸ διαφανές, καὶ ἐν τοῖς ἄλλοις πᾶσι σώμασ ι , τοῖς μὲν μᾶλλο ν , τοῖς δὲ ἧττο ν , τῷ πάντα τὰ σώματα ἔχειν τι τῆς δυνάμεως ἐν αὑτοῖς. Λαβὼν δὲ τὸ τὴν διαφάνειαν φύσιν τινὰ καὶ δύναμιν εἶναι ἐν πᾶσι τοῖς σώμασι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον, προσλαμβάνει τούτῳ τὸ ὡς τῶν σωμάτων, καθὸ σώματα, ἀνάγκη τι εἶναι ἔσχατον καὶ πέρας, ἐπειδὴ μηδὲν ἄπειρον σῶμα, ὡς δέδεικται, καὶ ἔστι τοῦτο ἐπιφάνεια, οὕτως φησὶν ἔσχατόν τι τοιοῦτον εἶναι καὶ τῆς διαφανείας. τοῦτο δὲ τὸ τῆς διαφανείας πέρας οὐχ ὡς κεχωρισμένον τῆς ἐπιφανείας οὕτως ἐστὶ τοῦ σώματος πέρας, ἀλλ’ ὡς ἐν ταύτῃ καὶ σὺν ταύτῃ ὄν· ὡς γὰρ ἔχει πρὸς ἄλληλα τό τε διαφανὲς καὶ τὸ σῶμα, οὕτως ἔχει καὶ τὰ πέρατα αὐτῶν πρὸς ἄλληλα. ἐπ’ ἐκείνων δὲ οὐκ ἄλλο μέν ἐστι τὸ σῶμα, ἄλλο δέ τι κεχωρισμένον αὐτοῦ τὸ διαφανές· ἀλλ’ ἔστι τὸ σῶμα αὐτὸ διαφανές, κατὰ τὴν τοιαύτην δὲ δύναμιν χρωμάτων δεκτικόν. ἔστι δὲ καὶ τὸ πέρας αὐτοῦ ἐπιφάνεια τοιαύτη κεχρωσμένη, ὡς εἶναι, καθὸ μὲν σῶμα, τὴν ἐπιφάνειαν αὐτοῦ πέρας, καθὸ δὲ τοιόνδε καὶ διαφανές, τὸ χρῶμα. [ἔστι ποιότης ἐν τῇ ἐπιφανείᾳ, καθὸ μὲν σῶμα, ἐπιφάνειαν, καθὸ δὲ τοιόνδε, λευκήν]. ἔστι γὰρ φύσις ἐν τοῖς σώμασι δεκτικὴ χρωμάτων, ἥτις ἐστὶν ἡ διαφάνεια. ὡς γὰρ θερμότητος ἢ ψυχρότητος ἢ ὑγρότητος ἢ ξηρότητος ἢ μανότητος ἢ πυκνότητος οἷόν τε τὰ μὲν μᾶλλον μετέχειν τῶν σωμάτων, τὰ δὲ ἧττον, οὐκ οὐσῶν χωριστῶν δυνάμεων, οὕτως καὶ τῆς διαφανείας. ὡς γὰρ πᾶσι τοῖς ἐν ἄλλῳ πεφυκόσι γίνεσθαί τε καὶ εἶναι ἔστι τι ὑποκείμενον ἐπιτηδειότητα ἔχον πρὸς τὸ κατ’ αὐτὸ εἰδοποιεῖσθαι καὶ ὕλη ἐστὶν αὐτῶν (καὶ γὰρ βαρεῖ καὶ κούφῳ καὶ μεγάλῳ καὶ μικρῷ καὶ θερμῷ καὶ ψυχρῷ καὶ τοῖς ἄλλοις τοῖς ἀνάλογον τούτοις ἔχουσιν ὕλη τις ὑπόκειται), οὕτω δὲ καὶ τοῖς χρώμασι καὶ τῇ κατὰ ταῦτα ἐναντιώσει (καὶ γὰρ ταῦτα τῶν ἐν ἄλλοις γίνεσθαι πεφυκότων), καὶ ἔστιν αὕτη ἡ ἐν τοῖς σώμασι διαφάνεια.

in Sens.45 καὶ τὰ σώματα, καθό ἐστι διαφανῆ, καὶ τὸ χρῶμα ἔχει τε καὶ δέχεται· πᾶν γὰρ σῶμα κατὰ τὴν τοιαύτην δύναμιν χρώματός ἐστι δεκτικόν. ἔστι δὲ οὐκ ἐν πᾶσιν ἴση ἡ φύσις αὕτη τοῖς σώμασιν, ἀλλ’ ἐν οἷς μὲν μᾶλλον, ἐν οἷς δὲ ἧττον· καὶ τὰ μέν ἐστιν αὐτῶν ἀόριστα, τὰ δὲ διωρισμένα. κατὰ δὲ τὰς διαφορὰς ταύτας καὶ ἡ τῶν χρωμάτων ἐν αὐτοῖς διαφορά. πάντα μὲν οὖν τὰ σώματα τῆς φύσεως ταύτης τῆς διαφανείας κεκοινώνηκεν, ἀλλὰ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον. ἰδίως δὲ διαφανῆ, ὡς εἴθισται λέγεσθαι, τῶν σωμάτων μόνα τὰ δίοπτα, ἀπὸ τοῦ *** φαινόμενον μὲν κυρίως λέγεσθαι τὸ τῇ ὄψει ἀντιληπτὸν παρὰ τὸ φάος (φάος δὲ τὸ φῶς)· ὧν δὴ τοῦτο χρῶμα, ταῦτα ἰδίως διαφανῆ. τὰ γὰρ δεχόμενα τὸ φάος ἤτοι φῶς, δι’ οὗ πάντα τὰ

ὁρώμενα ὁρᾶται, ταῦτα λέγεται συνήθως διαφανῆ κατὰ ἄμφω, ὅτι τε τὸ φῶς δέχεται, ὅ ἐστι φάος, καὶ διότι τοῖς ἄλλοις πᾶσιν αἴτια ταῦτα τοῦ φαίνεσθαί τε καὶ ὁρᾶσθαι· τὰ γὰρ χρώματα διὰ τούτου ὁρᾶται καὶ τούτου κινητικά. δέχεται δὲ τὸ φῶς τὰ ἀόριστα διαφανῆ τῷ μὴ ἔχειν οἰκεῖον χρῶμα· τὰ γὰρ ἀόριστα, ὥσπερ τὸ πέρας ἴσχει παρ' ἄλλου οὐκ ἔχοντα οἰκεῖόν τε καὶ ὡρισμένον, οὕτω δὴ καὶ τὰ χρώματα. δι' οὗ δὴ ταῦτα φαίνεται, τοῦτο δὲ ἰδίως καλοῦμεν διαφανές. οὐ πάντα γάρ, ὡς εἴρηται, τὰ ἔχοντα τὴν διαφάνειαν ὁμοίως ἐστὶ διαφανῆ· ἀλλὰ τὰ μὲν μᾶλλον αὐτῆς, τὰ δὲ ἧττον μετέχει. καὶ ἔστι τὰ μὲν ἀόριστα τῶν σωμάτων διὰ τὸ 〈μηδεμίαν〉 μοῖραν στερεοῦ τε καὶ γῆς ἔχειν ἐν αὑτοῖς [ἅ] καὶ μᾶλλον διαφανῆ καὶ ἐν τῷ βάθει, τὰ δὲ ἕτερα ἧττον, διότι γῆς ταῦτα ἐν αὑτοῖς μετέχει, ἥτις ἐλάχιστα διαφανής ἐστι· τὸ γὰρ μᾶλλόν τε καὶ ἧττον μίξει τοῦ ἐναντίου. μάλιστα μὲν γὰρ ὁρατὸν καὶ διαφανὲς τῶν σωμάτων, ὃ αὐτό τέ ἐστιν ὁρατὸν καὶ διαφανὲς καὶ τοῖς ἄλλοις τοῦ ὁρᾶσθαι αἴτιον γίνεται· τοιοῦτον δὲ σῶμα τὸ φωτίζειν πεφυκός, ὥσπερ τό τε θεῖον καὶ τὸ πῦρ.

in Sens.46 κατὰ λόγον δὲ κατὰ τὴν πρὸς τοῦτο γειτνίασιν καὶ οἰκειότητα καὶ τῶν ἄλλων ἕκαστον κεκοινώνηκε τῆς διαφανείας, ἀὴρ μὲν μᾶλλον (διὸ καὶ τάχιστα οὗτος φωτὸς ἀναπίμπλαται), δευτέρως δὲ τὸ ὕδωρ, τελευταία δὲ ἡ γῆ· διὸ καὶ ἐλάχιστα αὕτη διαφανής· καὶ γὰρ ὅσα ἐκ γῆς εἶναι δοκοῦντά ἐστι διαφανῆ, ὕδατος μᾶλλον ἢ γῆς ὄντα αὐτὰ εὕροι τις ἄν· καὶ τῇ ταύτης δὲ μίξει τὰ ἔλαττον διαφανῆ τῶν σωμάτων οὕτως διαφανῆ. καὶ γὰρ δὴ ὁ μὲν ἀὴρ οἰκεῖός πως τῷ πυρί· διὸ καὶ ταχέως ἐμπίπλαται φωτός. τὸ δὲ ὕδωρ καὶ τροφὴ δοκεῖ τῷ πυρὶ εἶναι· καὶ γὰρ ἐν τοῖς καιομένοις ὅλοις ἡ ὑγρότης ἐστὶν 〈ἡ〉 ἐν αὑτοῖς καιομένη, καὶ ἐφ' ὅσον ταύτην ἔχει, καίεται· τοιοῦτον γὰρ καὶ ὁ καπνός. ἡ δὲ γῆ πορρωτάτω ἀφέστηκεν αὐτοῦ (διὸ καὶ ἥκιστα αὕτη διαφανής)· διὸ καὶ εἰκότως τὴν τῆς στερήσεώς πως τοῦ φωτὸς χώραν ἔχει, οὔτε αὐτὴ δεχομένη τὸ φῶς ἐν αὑτῇ, ὅτῳ τ' ἂν ἄλλῳ μιχθῇ, ἀντιφράττουσα αὐτῷ καὶ κωλύουσα φωτίζεσθαι δι' ὅλου, ὡς ὁρῶμεν ἐπὶ τοῦ ἀέρος ἐν ᾧ καπνός ἐστι· πολὺ γὰρ τὸ γεῶδες ἐν τῷ καπνῷ. οὐδὲ ἡ φλὸξ δίοπτος, διότι καὶ αὐτὴ γεῶδές τι ἔχει μεμιγμένον, εἴγ' ἐστὶ καπνὸς καιόμενος καὶ ἡ φλόξ. διὸ οὐ κονιορτοῦ ὄντος ἐν τῷ ἀέρι διαφανὴς ἔτι ὁ ἀὴρ μένει. κέρας δὲ καὶ τὸ χελώνιον διαφανῆ ἐργασθέντα πως γίνεται, ὅτι τὸ πλεῖστον ὕδατος ἐν αὐτοῖς· δηλοῖ δὲ τῷ μαλακτὰ εἶναι. τὰ μὲν οὖν μάλιστα διαφανῆ τῶν σωμάτων τὸ μάλιστα ὁρατὸν τῶν χρωμάτων δέχεται, τοῦτο δέ ἐστι τὸ φῶς, καὶ δι' ὅλων αὐτῶν, τῷ μὴ ἔχειν τὸ ἀντιφράττον καὶ τῷ ἀόριστα εἶναι· δι' ὃ καὶ τῶν ἄλλων χρωμάτων ὁρατὸν ἕκαστον· τῷ δὲ εἶναι ὑγρά τε καὶ ἀόριστα καὶ μὴ δύνασθαι στέγειν τοῦτο ὃ δέχεται οὐ παθητικῶς χρώννυται.

in Sens.47 διὸ οὐκ ἀεὶ τὸ χρῶμα τοῦτο ἔχει, ἀλλ' ἀπελθόντος τοῦ πεφυκότος φωτίζειν αὐτὰ ἐν στερήσει τούτου γίνεται· ὡς εἴγε στέγειν ἐδύνατο τὸ χρῶμα, ἦν 〈ἂν〉 ἀεὶ φῶς ἐν αὐτοῖς. ἀλλὰ καὶ τὰ ἄλλα χρώματα ὁμοίως δέχεται· κινεῖται γὰρ ὑπὸ τούτων δι' οἰκειότητα. ὅσα δὲ στερεὰ τῶν σωμάτων καὶ γῆς ἔχοντα πλεῖον, οὔτε δίοπτα ταῦτα, διότι μηδὲ ὁμοίως διαφανῆ, οὔτε τὸ φῶς ἔτι δέχεται· οὐ γὰρ τῶν τοιούτων σωμάτων οἰκεῖον χρῶμα τὸ φῶς. ἔχει μέντοι οἰκεῖόν τι χρῶμα· στερεὰ γὰρ ὄντα καὶ στέγειν δυνάμενα τοῦτο ὃ τὴν ἀρχὴν ἐδέξατο καὶ ἔσχεν ἐκ τῆς τῶν διαφανῶν ἐν αὐτῷ ποιᾶς μίξεως, ὁρᾶται μὲν διὰ τοῦ φωτός, ὃ κυριώτατά τε καὶ μάλιστα ὁρατόν, οὐ μὴν αὐτὸ τὸ φῶς ὡς χρῶμα δεχόμενα· καθόσον δὲ μετέχει τῆς διαφανείας, κατὰ τοσοῦτον καὶ οὕτως κέχρωσται. ὅσα μὲν γὰρ μᾶλλον αὐτῶν ἐστι διαφανῆ φωτοειδὲς ἔχει τὸ χρῶμα, ἔχοντα μεμιγμένον ἐν αὑτοῖς τὸ τοιούτου χρώματος αἴτιον, τὰ δ' ἐγγὺς τούτοις λευκόν· τὰ γὰρ μᾶλλον ὁρατὸν ἔχοντα τὸ χρῶμα μᾶλλόν ἐστι καὶ διαφανῆ. τὰ δὲ μέλανα στερήσει διαφανείας τοιαῦτα, ὡς τὸ σκότος ἀπουσίᾳ τοῦ φωτίζειν πεφυκότος. καὶ τοιαύτη μὲν ἡ τοῦ χρώματος φύσις καὶ ἡ τῆς ἐν τοῖς σώμασι διαφανείας. p. 439a25 Ὥσπερ οὖν ἐπὶ τῶν σωμάτων ἀνάγκη τι εἶναι ἔσχατο ν . Λαβὼν ὅτι τὸ χρῶμα ἐν τῷ διαφανεῖ (καὶ γὰρ τὸ φῶς ἐν τούτῳ καὶ τοῦτο ὂν κατὰ συμβεβηκὸς χρῶμα—τοῦτο γὰρ τῆς τῶν χρωμάτων φύσεως δεκτικόν—καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτῳ συμβεβηκὸς ὡς ὑποκειμένῳ τῷ χρώματι τούτου ἐστὶ τὸ χρῶμα, λέγω δὴ τοῦ διαφανοῦς) *** ὡς γὰρ τοῦ σώματος, καθὸ σῶμά ἐστιν, ἀναγκαίως ἐστὶν ἔσχατόν τι καὶ πέρας (οὐδὲν γὰρ ἄπειρον σῶμά ἐστι, παντὸς δὲ σώματος ἔσχατον ἡ ἐπιφάνεια), οὕτως καὶ τῆς ἐν τοῖς σώμασι διαφανείας καὶ τῶν σωμάτων, καθό ἐστι διαφανῆ, ἀναγκαῖον εἶναί τι πέρας, ταὐτὸν μὲν ὂν τῷ ἀριθμῷ τῷ τοῦ σώματος πέρατι, ὅτι καὶ τὰ ὧν πέρατα ταῦτα ἓν κατ' ἀριθμόν, οὐ ταὐτὸν δὲ τῷ λόγῳ, ὅτι μηδὲ ταὐτὸν ἦν τό τε σώματι εἶναι καὶ τὸ διαφανεῖ· σώματα μὲν γὰρ ἀλλήλων οὐκ ἔστι μᾶλλον καὶ ἧττον, διαφανῆ δὲ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττόν ἐστι.

in Sens.48 τοῦ μὲν οὖν σώματος, ὡς σώματος, πέρας ἡ ἐπιφάνεια, τοῦ δὲ διαφανοῦς, ὡς διαφανοῦς, τὸ χρῶμα· διὸ καὶ ταὐτόν πως καὶ οὐ ταὐτὸν ἐπιφάνειά τε καὶ χρῶμα. τὸ δὲ πέρας τοῦ διαφανοῦς χρῶμα· κατὰ δὲ τὸ πέρας ὁρᾶται τὰ κεχρωσμένα, ὥστε πέρας τὸ χρῶμα. καθὸ μὲν γὰρ ὁρᾶται, κατὰ τοῦτο καὶ χρῶμα ἔχει· κατὰ δὲ τὸ πέρας ὁρᾶται· κατὰ τοῦτο ἄρα ἔχει τὸ χρῶμα, καὶ τοῦτό ἐστιν αὐτῶν, ὡς διαφανῶν, πέρας. οὐκέτι γὰρ τὰ οὕτω διαφανῆ καὶ διὰ βάθους ἐστὶ τοιαῦτα· τῶν γὰρ ἀορίστων διαφανῶν ἡ διαφάνεια διὰ βάθους. p. 439a26 Ἡ μὲν οὖν τοῦ φωτὸς φύσις ἀορίστῳ διαφανεῖ ἐστ ι . Ἀόριστον μὲν γὰρ διαφανὲς τὸ ὑγρὸν καὶ μὴ ἔχον οἰκεῖον ὅρον, ᾧ ἀντιδιαιρεῖται τὸ στερεὸν σῶμα, σῶμα ἁπλῶς λέγων αὐτό, ὡς ἐμφαινομένης τῆς στερεότητος ἐν τῷ σώματι, ἐπεὶ οὐδέν γε ἔλαττον καὶ τὸ ἀόριστον σῶμα σῶμα. τὴν διαφορὰν δὲ φωτός τε καὶ χρώματος καὶ τῶν ἐν οἷς ταῦτα διαφανῶν δείκνυσι διὰ τούτων. τὸ μὲν γὰρ φῶς ἐν τῷ ἀορίστῳ διαφανεῖ καὶ οἰκεῖον οὐκ ἔχοντι τέλος. ὡς γὰρ οὐκ ἔχει τὰ τοιαῦτα σώματα, καθὸ σώματα, οἰκεῖόν τι πέρας, ἀλλ' ἀεὶ ὑπὸ ἄλλου ὁρίζεται καὶ περατοῦται, οὕτως οὐδὲ χρῶμα οἰκεῖον ἔχει τῷ τὸ μὲν χρῶμα πέρας καὶ τοῦτο εἶναι τοῦ σώματος, καθὸ διαφανές τε καὶ χρώματος δεκτικὸν καὶ ὁρατόν, ταῦτα δὲ μὴ ἔχειν οἰκεῖον πέρας.

in Sens.49 ἐπεὶ δέ ἐστι καὶ ἐν τοῖς στερεοῖς ἡ διαφάνεια καὶ οἰκεῖον ἔχει πέρας ταῦτα καὶ ὡρισμένον, τοῦ ἐν τοῖς στερεοῖς σώμασι διαφανοῦς ἀνάγκη μὲν εἶναι ἔσχατόν τι καὶ τοῦτο ὡρισμένον, ὥσπερ καὶ καθὸ σώματα ἦν· συνοδεύει γὰρ καὶ ἐν τῷ ὑποκειμένῳ τό τε ὡς σώματος καὶ τὸ ὡς διαφανοῦς πέρας. Τοῦτο δ' ὅτι τὸ χρῶμά ἐστι προσβιβάζει ἀπὸ τῶν συμβεβηκότων. τὸ γὰρ χρῶμα ἢ ἐν τῷ πέρατι τοῦ σώματός ἐστι ἢ πέρας τοῦ σώματός ἐστι. καὶ ὅτι τοῦτο οὕτως ἔχει, παρατίθεται τὴν τῶν Πυθαγορείων δόξαν, ὅτι τὴν ἐπιφάνειαν, ὅ ἐστι πέρας τοῦ σώματος, χρόαν ἔλεγον. παραθέμενος δὲ τὴν ἐκείνων δόξαν, ἐπανορθῶν αὐτὴν λέγει εἶναι μὲν ἐν τῷ πέρατι τοῦ σώματος, ὅπερ ἐστὶν ἡ ἐπιφάνεια, τὸ χρῶμα, οὐ μὴν εἶναι τὸ τοῦ σώματος πέρας. καὶ *** ὡς σώματός ἐστι πέρας τὸ χρῶμα· τὸ μὲν γὰρ χρῶμα ποιότης, ἡ δὲ ἐπιφάνεια ποσόν, εἴγε μέγεθος ἐπὶ δύο διεστώς· καὶ πᾶν μὲν σῶμα ἐπιφάνειαν ἔχει, οὐ πᾶν δὲ κέχρωσται. καὶ οὔτε, εἰ μία 〈κατ' ἀριθμὸν ἐπιφάνεια〉, ἐξ ἀνάγκης ἓν κατ' ἀριθμὸν χρῶμα (δύναται γὰρ ἐν τῇ μιᾷ κατ' ἀριθμὸν ἐπιφανείᾳ καὶ τὰ ἐναντία εἶναι χρώματα), οὔτε, εἰ ἓν κατ' ἀριθμὸν χρῶμα, ἀνάγκη καὶ ἐπιφάνειαν κατ' ἀριθμὸν εἶναι μίαν. ὅτι δὲ μὴ τοῦ σώματος, καθὸ σῶμα, πέρας τὸ χρῶμα, ἀλλὰ τοῦ διαφανοῦς, καὶ αὐτὸς διὰ τῶν ἑξῆς δείκνυσι, καὶ ὅτι τὸ διαφανές ἐστι τὸ ἐν τοῖς σώμασι χρωμάτων δεκτικόν. p. 439a33 Ἀλλὰ τὴν αὐτὴν δεῖ φύσιν νομίζει ν . Προθέμενος δεῖξαι ὅτι τὸ χρῶμα οὐ τὸ τοῦ σώματος πέρας ἐστίν, ἀλλ' ἐν τῷ τοῦ σώματος πέρατι, πέρας ὂν οὐχ ὡς σώματος, ἀλλὰ τοῦ διαφανοῦς, καθὸ διαφανές, πρῶτον δείκνυσιν ὅτι τὸ ἐν τοῖς στερεοῖς σώμασι διαφανές ἐστι τὸ χρωμάτος δεκτικόν. τὴν γὰρ αὐτήν, φησί, δεῖ νομίζειν φύσιν καὶ ἐν τοῖς στερεοῖς εἶναί τε καὶ συνθέτοις σώμασι τὴν τοῦ χρώματος δεκτικήν, ἥτις καὶ ἔξω τῶν στερεῶν σωμάτων ὁρᾶται χρωματιζομένη· τοιαύτη δὲ ἀήρ τε καὶ ὕδωρ.

in Sens.50 δείκνυσι δὲ διὰ τούτων ὅτι τὸ διαφανὲς χρώματος δεκτικόν. ἔξω δὲ εἶπε ταῦτα χρωματίζεσθαι, ὅτι ὑπό τινος ἔξωθεν φωτίζεταί τε καὶ χρώννυται οἰκεῖον οὐκ ἔχοντα 〈χρῶμα〉 (τὰ γὰρ ἐξ αὑτῶν καὶ οἰκεῖον ἔχοντα χρῶμα ἐντὸς κεχρῶσθαι λέγει, διότι οἰκεῖον ἔχει καὶ ἐν αὑτοῖς τὸ χρῶμα καὶ τὸ αἴτιον τοῦ χρώματος)· ἡ γὰρ αὐγὴ καὶ τὸ φῶς τὸ ἐν τοῖς ἀορίστοις διαφανέσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γινόμενον, οἷά ἐστιν ἀὴρ καὶ ὕδωρ, ἀλλὰ καὶ κίνησις ἡ ὑπὸ τῶν χρωμάτων τούτων ἐστὶ χρωματίζεται· ἐν γὰρ τούτοις αὐγή τις γίνεται, καὶ ἐν τῷ ἀέρι καὶ ἐν τῷ ὕδατι, ὑπό τινων ἀνθῶν, ὡς χρώννυσθαι δοκεῖν αὐτά. ἢ αὐγὴν τὸ φῶς εἶπε τὸ γινόμενον ἐν αὐτοῖς, χρῶμα ὄν πως αὐτῶν. καὶ ἐν τοῖς στερεοῖς ἄρα ἡ φύσις ἡ αὐτή ἐστιν ἡ τὰ χρώματα δεχομένη. Ἑξῆς δὲ προστίθησι, κατὰ τί αὐτοῖς ἡ διαφορά, τούτοις τε τοῖς ἀορίστοις διαφανέσιν, ἃ εἶπεν ἔξω *** ὄντα χρωματίζεσθαι, καὶ τοῖς ὡρισμένοις. ἐπὶ μὲν γὰρ ἐκείνων διὰ τὸ ἀόριστα αὐτὰ εἶναι καὶ μὴ παθητικῶς ἀναδέχεσθαι τὰ χρώματα οὐ τὸ αὐτὸ φαίνεται χρῶμα οὐδὲ ἡ αὐτὴ αὐγὴ ἐγγύς τε προσιόντων καὶ ἀφισταμένων πορρωτέρω (κατὰ γὰρ ποιὰν σχέσιν καὶ θέσιν τῶν δι᾽ αὐτῶν ὁρωμένων πρὸς τὰ ὁρῶντα καὶ ποσὴν ἀπόστασιν διάφορον τὸ ἐν αὐτοῖς χρῶμα φαίνεται καὶ μεταβάλλον τῷ μὴ αὐτὰ ἀναδέχεσθαι τὸ χρῶμα τὸ ὁρώμενον· κινούμενα δέ πως ὑπ᾽ αὐτῶν αἴτια τοῖς ὁρῶσι τοῦ ὁρᾶσθαι ταῦτα γίνεται), ἐν δὲ τοῖς σώμασι (πάλιν δὲ σώματα τὰ στερεὰ λέγει) τὸ αὐτὸ μένει τὸ ὁρώμενον, ἐγγύς τε καὶ πορρωτέρω ἀποχωρούντων, ἄν γε ᾖ τὸ διάστημα σύμμετρον· οὐ γὰρ τὸ ἐν τούτοις χρῶμα ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, ἀλλ᾽ ἔστιν ἐν αὐτοῖς τοῦτο δι᾽ οὗ αὐτὰ ὁρᾶται, ἀλλ᾽ οὐ διὰ τούτων. ἀλλ᾽ ἐπειδὴ πολλάκις καὶ ἐν τοῖς οἰκεῖον ἔχουσί τι χρῶμα καὶ στερεοῖς τὸ περιέχον ἢ πυκνότερον ὂν ἢ λεπτότερον, μᾶλλον πεφωτισμένον ἢ ἧττον, κατὰ ποιὰν τοῦ φωτὸς σχέσιν πρὸς τὰ χρώματα καὶ τὴν μῖξιν τὴν πρὸς ταῦτα ἄλλοτε ἀλλοῖα ποιεῖ φαίνεσθαι τὰ ὁρώμενα, ὡς ἐπὶ τοῦ τῆς περιστερᾶς τραχήλου, διὰ τοῦτο ἀσφαλῶς προσέθηκεν τὸ ἐὰν μὴ τὸ περιέχον ποιῇ μεταβάλλει ν , ὥρισται καὶ ἡ φαντασία τῆς χρόα ς .

in Sens.51 ἢ τὸ ἐὰν μὴ τὸ περιέχον ποιῇ μεταβάλλειν εἶπεν ἐπὶ τῶν σωμάτων, λέγων τὰ στερεά· πολλάκις γὰρ καὶ τούτων τὸ χρῶμα ἀλλοῖον ὑπὸ τοῦ περιέχοντος γίνεται ἢ θερμοτέρου ἢ ψυχροτέρου ἢ ὅλως τοιούτου ὄντος, ὡς ὑπ᾽ αὐτοῦ πάσχειν τὸ κεχρωσμένον καὶ μεταβάλλειν. Προσθεὶς δὲ τὴν διαφορὰν τῶν τε ἐν τοῖς ἀορίστοις διαφανέσι χρωμάτων καὶ τῶν ἐν τοῖς ὡρισμένοις, τὴν αἰτίαν ἀποδιδοὺς (χρήσιμον γὰρ ἦν αὐτῷ πρὸς τὸ μὴ ἡγεῖσθαί τινας διὰ τοῦτο τὰ μὲν ἀόριστα διαφανῆ εἶναι, τὰ δὲ ὡρισμένα μηκέτι) δῆλον, φησίν, ὅτι ἡ αὐτὴ φύσις καὶ τὸ αὐτὸ καὶ ἐν τοῖς στερεοῖς καὶ ἐν τοῖς ἐκτός τε 〈χρωματιζομένοισ〉 καὶ ἀορίστοις χρώματός ἐστι δεκτικό ν , καὶ ἔστι τοῦτο διαφανές. κα θ ᾽ ὅσον ἄρα ὑπάρχει καὶ ἐν τοῖς σώμασιν ἡ διαφάνεια, κατὰ τοσοῦτον αὐτοῖς καὶ χρώματος μέτεστιν. ὅτι δὲ τοῖς μὲν μᾶλλον τοῖς δὲ ἧττον ὑπάρχει ἡ φύσις αὕτη οὖσα ἐν πᾶσι, προειρήκαμεν. Εἰπὼν δὲ τοῦτο καὶ λαβὼν ὅτι ἐν τῷ διαφανεῖ, νῦν προστίθησιν ὅτι ἐν τῷ πέρατι τούτου, ἀλλ᾽ οὐκ ἐν τῷ τοῦ σώματος, ὡς ἐδόκει τοῖς Πυθαγορείοις. ὅτι μὲν γὰρ ἐν πέρατι ἡ χρόα ὡς ἐναργὲς λαμβάνει· ὁρατὰ γὰρ τὰ σώματα κατὰ τὸ πέρας. καθ᾽ ὃ γὰρ ἕκαστον τῶν ὁρατῶν ὁρατόν ἐστι, τοῦτο τὸ χρῶμά ἐστιν αὐτοῦ· κατὰ δὲ τὸ πέρας τὰ ὡρισμένα διαφανῆ ἐστι· τὸ πέρας ἄρα τοῦ ὡρισμένου διαφανοῦς, καθὸ διαφανές, χρῶμά ἐστι. τὰ γὰρ ἐν βάθει τῶν σωμάτων λέγοιτ᾽ ἂν δυνάμει χρῶμα ἔχειν, ὥσπερ καὶ ὁρατὰ εἶναι· ὡς γὰρ τὸ ὁρατὰ εἶναι ἔχει, οὕτως ἔχει καὶ τὸ κεχρῶσθαι. πᾶν γὰρ χρῶμα ὁρατὸν τῇ αὑτοῦ φύσει, εἰ καὶ μὴ τὸ εἶναι αὐτῷ ἐν τούτῳ.

in Sens.52 τὸ δὲ φῶς οὐκ ἂν εἴη χρῶμά τι ἁπλῶς οὐδὲ ὑπὸ τὸν τοῦ χρώματος λόγον, ὅτι μὴ παθητικῶς αὐτὸ ἔχει τε καὶ δέχεται τὰ διαφανῆ. προστίθησι δέ, βεβαιῶν τὸ πέρας εἶναι τὸ χρῶμα, ὅτι καὶ αὐτῶν τῶν διαφανῶν εἴ τι οἰκεῖόν ἐστί τινος χρῶμα, καὶ τοῦτο κατὰ τὸ πέρας ὁρατόν ἐστι· τὸ γὰρ φῶς οὐ χρῶμα ἦν αὐτῶν· οὐ γὰρ ἴδιον. Εἰπὼν δὲ ταῦτα ἑξῆς προστίθησι καὶ τὴν αἰτίαν τῆς τῶν χρωμάτων τῶν ἐν τοῖς σώμασι διαφορᾶς λέγων· ἔστι μὲν οὖν εἶναι ἐν τῷ διαφανεῖ τοῦ θ ᾽ ὅπερ καὶ ἐν τῷ ἀέρι ποιεῖ φῶ ς . ἔστι δὲ τὸ λεγόμενον τὸ φῶς τὸ ἐν τοῖς ἀορίστοις γινόμενον διαφανέσι χρῶμά πως ὄν· καὶ γὰρ αὐτὸ παρουσίᾳ φωτὸς ἤ τινος φύσεως φωτίζειν τε καὶ χρωννύναι δυναμένης γίνεται, ἧς ἀπελθούσης σκότος ἐν τῷ διαφανεῖ γίνεται, στέρησις φωτὸς ὄν. ὡς οὖν ἐπὶ τῶν ἀορίστων διαφανῶν ἔχει τὸ ἐν ἐκείνοις χρῶμα παρουσίᾳ γινόμενον τοῦ

φωτίζειν δυναμένου, οὕτως φησὶν ἔχειν καὶ ἐπὶ τῶν ὡρισμένων τὸ χρῶμα τὸ οἰκεῖον αὐτῶν ἑκάστου. ἐν οἷς μὲν γὰρ αὐτῶν οὖσι διαφανέσι ἐστὶ καὶ τὸ ὑφ’ οὗ χρώννυσθαι πέφυκε τὸ διαφανὲς (τοιαύτη δὲ ἦν ἡ λαμπρὰ καὶ πυρώδης φύσις), ταῦτα ὁρατά τε μᾶλλον καὶ μᾶλλον χρώννυται ἔχοντα τὸ χρῶμα ὡρισμένον τε καὶ μένον, ὅτι καὶ τὸ παρεκτικὸν καὶ αἴτιον τοῦ χρώματος ἐν αὑτοῖς ἔχει, καὶ ταῦτ’ ἐστὶ τὰ λευκὸν ἔχοντα τὸ χρῶμα· καὶ γὰρ ἡ χιών, διότι πλεῖστον ἀέρος ἔχει, ἔτι δὲ καὶ [ἐξ] ὕδατος, διαφανῶν ἀμφοτέρων, μάλιστα δὲ διαφανὴς καὶ λευκὴ διὰ τὴν κίνησίν τε καὶ τρῖψιν τοῦ ἀέρος 〈ὃσ〉 κινούμενος τοῦ λευκοῦ καὶ ἀφρώδους χρώματος αἴτιος· ἡ γὰρ κίνησις αὐτὸν συνάγουσα διὰ τὴν περιέχουσαν τοῦ νέφους ψυχρότητα παχύτερον ποιεῖ θερμαίνουσα καὶ συνίστησι, καὶ οὕτως κρατηθεὶς ὑπὸ τοῦ ἐκτὸς ψυχροῦ πήγνυται. ἐν οἷς δὲ μὴ ἔστιν ἢ ἧττόν ἐστιν ἡ τοιαύτη φύσις, ταῦτα μέλανά τε καὶ ἐν στερήσει χρώματος ἀνάλογον τῷ σκότῳ 〈τῷ〉 ἐν τοῖς διαφανέσιν ὄντι, ὁπόταν μὴ παρῇ τὸ φωτίζειν τε καὶ χρωννύναι αὐτὰ δυνάμενον. καὶ τὰ μεταξὺ δὲ χρώματα δῆλον ὅτι κατὰ τὴν αὐτὴν ἀναλογίαν τῆς ποιᾶς τοῦ ἐν τούτοις παρουσίας τε καὶ μίξεως γένοιτο ἄν, ὃ ἐφεξῆς ζητήσει.

in Sens.53 ἔοικε δὲ οὐ τῇ τοῦ διαφανοῦς ἐπιτάσει τε καὶ ἀνέσει τὴν τῶν χρωμάτων ἀνατιθέναι διαφοράν, ἀλλὰ τῇ τοῦ φωτίζειν καὶ χρωννύναι πεφυκότος αὐτὸ παρουσίᾳ τε καὶ ἀπουσίᾳ. ἢ ἐξ ἀμφοῖν ἂν γίνοιτο· καὶ γὰρ τῇ διαφανείᾳ καὶ τῇ παρουσίᾳ τοῦ χρωννύναι πεφυκότος τὸ μᾶλλον ἢ ἧττον εἶναι εἴη ἄν, καὶ τὸ διαφανέσι μᾶλλον 〈ἢ ἧττον〉 τοῖς στερεοῖς ἐν τῇ ποιᾷ μίξει τῶν προειρημένων. p. 439b18 Περὶ δὲ τῶν ἄλλων χρωμάτων ἤδη διελομένοις ποσαχῶς ἐνδέχεται γίνεσθαι λεκτέο ν . Ἐν τοῖς στερεοῖς σώμασι τὴν μὲν μῖξιν καὶ παρουσίαν τοῦ φωτίζειν πεφυκότος ἐν τῷ διαφανεῖ τὸ λευκὸν χρῶμα ποιεῖν εἰπών, τὴν δὲ ἀπουσίαν τούτου τὸ μέλαν ἀναλόγως τῷ ἐν τῷ ἀορίστῳ διαφανεῖ γινομένῳ φωτί τε καὶ σκότῳ, ἐφεξῆς ζητεῖ περὶ τῶν μεταξὺ χρωμάτων τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος, πῶς γίνεται. ἐπεὶ δὲ δοκεῖ μίξει γίνεσθαι τῶν ἐναντίων, ἐκτίθεται τοὺς τρόπους, καθ’ οὓς δύναται ἡ κατὰ τὰ χρώματα διαφορὰ γίνεσθαι ἐκ τῆς τοῦ λευκοῦ τε καὶ μέλανος μίξεως. ‘Ἐνδέχεται μὲν γάρ, φησί, καὶ παρ’ ἄλληλα τιθέμενα τό τε μέλαν καὶ τὸ λευκόν, ὡς ἑκάτερον μὲν αὐτῶν εἶναι διὰ μικρότητα ἀόρατον, τὸ δὲ ἐκ τῆς συνθέσεως αὐτῶν ὁρατὸν γίνεσθαι, ποιεῖν ἄλλου τινὸς ὄψιν χρώματος.‘ ἔστι γάρ τινα ἃ κατ’ ἰδίαν μὲν ὄντα ἐκφεύγει τὴν ὄψιν, συντεθέντα δὲ ἀλλήλοις ὁρᾶται. ἀπὸ γοῦν διαστήματός τινος πυρὸν μὲν ἕνα κείμενον οὐκ ἄν τις ἴδοι· εἰ δὲ σωρὸς πυρῶν γένοιτο, ὁρῷτο ἂν ἀπὸ τοῦ αὐτοῦ διαστήματος. ὡς δὲ ἀπὸ τοῦ αὐτοῦ διαστήματος τούτων τὸ μὲν ὁρατόν, τὸ δὲ οὔ, οὕτως δύναταί τινα διὰ μικρότητα μηδ’ ὅλως κινεῖν τὴν ὄψιν καθ’ αὑτά. τὸ δὴ ἐκ τῆς τοιαύτης τῶν προειρημένων χρωμάτων παραθέσεως ὁρώμενον οὐδετέρῳ μὲν ταὐτὸν ἔσεσθαι τῶν παρακειμένων ἀλλήλοις, ἔσεσθαι μέντοι τὶ χρῶμα, εἴγε καὶ ὁρατόν· ἄλλο ἄρα τι εἶδος χροιᾶς.

in Sens.54 ἔσεσθαι δὲ κατὰ τὴν ἀναλογίαν τῶν παρατιθεμένων τε καὶ συντιθεμένων ἀλλήλοις λευκῶν τε καὶ μελάνων τῶν διὰ σμικρότητα ἀοράτων πλείω καὶ διαφέροντα ἀπογεννώμενα χρώματα· ἄλλο μὲν γὰρ ἴσων ἴσοις παρατιθεμένων, ἄλλο δὲ κατὰ τὴν ἑκατέρου τε ὑπεροχὴν καὶ τὴν τῆς ὑπεροχῆς ἀναλογίαν· οὐ γὰρ ὅμοιον διπλασίων τε τῶν λευκῶν ὄντων καὶ ἡμιολίων ἢ ἐν ἄλλῃ τινὶ ὑπεροχῇ. ὁ δ’ αὐτὸς λόγος καὶ ἐπὶ τῆς τοῦ μέλανος ὑπεροχῆς. καὶ τὰ μὲν ἐν λόγῳ τινὶ καὶ σύμμετρα τῶν ὑπαρχόντων πρὸς ἄλληλα ἔσεσθαι, τὰ δὲ ἐν ὑπεροχῇ ἁπλῇ, καὶ ἔσεσθαι αὐτῶν ἡδέα μὲν καὶ προσηνῆ τὰ ἐν λόγῳ τῆς ὑπεροχῆς ὄντα σύμμετρα, οὐ τοιαῦτα δὲ τὰ ἀσύμμετρα ἀνάλογον τοῖς κατὰ τὰς συμφωνίας· καὶ γὰρ ἐν ἐκείνοις ἡ διαφορὰ κατὰ τοὺς ἐν τοῖς ἀριθμοῖς τῆς ὑπεροχῆς λόγους. ἡ μὲν γὰρ ἔχουσα ὡς δύο πρὸς ἓν διαπασῶν καλεῖταί τε καὶ ἔστιν, ἡ δὲ τῶν τριῶν πρὸς τέσσαρα διατεσσάρων· ὅταν δὲ μηδένα λόγον ἔχωσιν οἱ φθόγγοι πρὸς ἀλλήλους, ἀνάρμοστον καὶ ἀσύμφωνον τὸ ἀκουόμενόν ἐστιν, ἀκουόμενον μέντοι. οὕτως δὲ καὶ ἐπὶ τῆς τῶν λευκῶν τε καὶ μελάνων παραθέσεως τῶν διὰ μικρότητα ἀοράτων ἕξειν τὰ ἀπογεννώμενα χρώματα, οἷον τριῶν δυσὶν ἢ τεσσάρων δυσὶν ἢ τριῶν τέτρασι παρατιθεμένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε καὶ μιγνυμένων, καὶ τῶν μὲν ἐν ἀναλογίᾳ, τῶν δὲ ἔξω ταύτης, καὶ ἡδέα μὲν τὰ ἐν ἀναλογίᾳ τῶν συντιθεμένων, ὡς τὸ ἁλουργὸν καὶ τὸ φοινικοῦν καὶ τὰ τοιαῦτ α , τὰ δὲ ὅσα πληκτικὰ καὶ ἀηδῆ οὐκ ἐν ἀναλογίᾳ. καὶ ὀλίγα φησὶν ἔσεσθαι τὰ ἡδέα διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ τὰ συμφώνως ἡρμοσμένα τοιαῦτα, ἢ καὶ πάσας μὲν τὰς χρόας ἐν ἀριθμοῖς τισι τῶν παρατιθεμένων ἀλλήλοις γίνεσθαι, ἀλλὰ τὰς μὲν τεταγμένας παραθέσεις αὐτῶν εἶναι, ἐξ ὧν τὰ ἡδέα χρώματα, τὰς δὲ ἀτάκτους, γίνεσθαι δὲ τὰς ἀτάκτους οὐκ ἐν τῇ τῆς ὑπεροχῆς ἀσυμμετρίᾳ, ἀλλ' ἐν τῇ τῆς παραθέσεως ἀταξίᾳ. ἔστι γὰρ τὰ δέκα τοῖς πέντε ποικίλως παρατιθέναι, καθ' ἃς διαφορὰς παραθέσεων διαφορὰν ἔσεσθαι καὶ τῶν χρωμάτων. Μὴ καθαρὰς δ' ἂν λέγοι παραθέσεις τὰς μὴ ὁμοίων.

in Sens.55 καθαρὰ μὲν γάρ, εἰ παρὰ δύο φέρε εἰπεῖν ἓν εἴη κείμενον ἐν πάσῃ τῇ μίξει, οὐ καθαρὰ δέ, ὅταν τὰ μὲν παρὰ δύο, τὰ δὲ παρὰ τρία, τὰ δὲ παρὰ ἕν. εἷς μὲν οὖν τρόπος οὗτος τοῦ πλήθους τῶν χρωμάτων, δύο μὲν ὄντων κατὰ τὸ ὑποκείμενον τῶν χρωμάτων, πολλῶν δὲ γινομένων τῷ λόγῳ καὶ τῇ μίξει τε καὶ παραθέσει τῇ ποιᾷ τούτων, ἐν φαντασίᾳ τὸ πλῆθος τῶν χρωμάτων ἐχόντων, οὐκ ἐν ὑποστάσει. οὕτως τινὲς καὶ τὰς κράσεις γίνεσθαι λέγουσιν. p. 440a7 Εἷς μὲν οὖν τρόπος τῆς γενέσεως τῶν χρωμάτων οὗτο ς , εἷς δὲ τὸ φαίνεσθαι δ ι ' ἀλλήλω ν . Εἰπὼν τὴν δόξαν τὴν τῇ ποιᾷ παραθέσει τοῦ λευκοῦ τε καὶ μέλανος τὴν τῶν ἄλλων χρωμάτων φαντασίαν γίνεσθαι λέγουσαν, δευτέραν πάλιν ἐκτίθεται δόξαν, καθ' ἣν δοκεῖ καὶ αὐτὴν δύνασθαι μὴ ὄντων ἄλλων χρωμάτων φαντασίαν γίνεσθαι, μόνων ὄντων ἐν ὑποστάσει τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος. ἔστι δὲ αὕτη ἡ τῷ δύνασθαι δι' ἀλλήλων τὸ λευκὸν καὶ τὸ μέλαν ὁρᾶσθαι τὴν τῶν μεταξὺ χρωμάτων φαντασίαν ἀνατιθεῖσα. πῶς δὲ διαφαίνεσθαι δι' ἀλλήλων τὰ χρώματα δύναται καὶ φαντασίαν διάφορον ἀποτελεῖν δεικνὺς παρέθετο τοὺς γραφεῖς. οὗτοι γὰρ ὑπαλείφοντές τινα ἐναργεστέραν χρόαν, εἶτα ἐπαλείψαντες ἔξωθεν αὐτῇ τινα ἔλαττον ἔχουσαν τὸ ἐναργὲς ποιοῦσιν ἄλλην φαίνεσθαι καὶ οὐχ ὁποία ἦν· τοῦτο δὲ ποιοῦσιν, ὅταν ὡς ἐν ὕδατι ἢ ἐν ἀέρι βούλωνταί τι ποιῆσαι φαινόμενο ν . ἀλλὰ καὶ ὁ ἥλιος διὰ μὲν καθαροῦ τοῦ ἀέρος λευκὸς φαίνεται, ὅταν δὲ δι' ἀχλύος ἢ καπνοῦ βλέπηται, φοινικοῦς ὁρᾶται. τὸ γὰρ ἐπιτιθέμενον χρῶμα ὅταν διαφέρον ᾖ τοῦ ὑποκειμένου, οὐδετέρου φαντασία ὁλόκληρος σῴζεται, ἀλλ' ἄλλο τι παρ' ἑκάτερον αὐτῶν τὸ φαινόμενόν ἐστιν. ἔστι δὲ καὶ τοῦτον τὸν τρόπον πλῆθος χρωμάτων κατὰ τὴν ἀναλογίαν τῶν τε διορωμένων καὶ τῶν δι' ὧν διορᾶται, ὄντων γε λευκοῦ τε καὶ μέλανος. εἰ μὲν γὰρ εἴη ὑπερέχον τὸ ἐν βάθει ὂν λευκὸν τοῦ ἐπιπολῆς ὄντος μέλανος, ἄλλου χρώματος ἡ φαντασία, εἰ δὲ ἰσάζοι, ἄλλη, καὶ εἰ ἀνάπαλιν λαμβάνοιτο, ἄλλη καὶ διάφορος κατὰ τοὺς λόγους τῶν ὑπεροχῶν ἢ τοῦ ἐν βάθει ἢ τοῦ ἐπιπολῆς.

in Sens.56 ὅτι δὲ μὴ ἡ αὐτὴ δόξα αὕτη τῇ πρὸ ταύτης, δῆλον· ἐκεῖ μὲν γὰρ παράθεσις ἦν ἀοράτων κατ' αὐτά, ἐνταῦθα δὲ ὁρατῶν σύνθεσις, τῶν μὲν ὑποτιθεμένων, τῶν δὲ ἐπιτιθεμένων. p. 440a15 Τὸ μὲν οὖν ὥσπερ οἱ ἀρχαῖοι λέγειν ἀπόρροιαν εἶναι τὴν χροιά ν . Ἐκθέμενος τὰς δόξας τὰς δύο, καθ' ἃς αἱ τῶν πλειόνων χρωμάτων φαντασίαι κατὰ μῖξιν τῶν ἐναντίων, τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος, γίνεσθαι δοκεῖ ἐν ᾗ ἦν δόξα προκαταβεβλημένη περὶ τοῦ ὁρᾶν ὑπὸ τῶν ἀρχαίων, ὡς ἄρα τοῦ ὁρᾶν κατὰ τὴν ἀπὸ τῶν ὁρωμένων ἀπόρροιαν γινομένου· εἴδωλα γάρ τινα ὁμοιόμορφα ἀπὸ τῶν ὁρωμένων συνεχῶς ἀπορρέοντα καὶ ἐμπίπτοντα τῇ ὄψει τοῦ ὁρᾶν ᾐτιῶντο. τοιοῦτοι δὲ ἦσαν οἵ τε περὶ Λεύκιππον καὶ Δημόκριτον, οἳ καὶ ἐκ τῆς τῶν ἀοράτων διὰ μικρότητα παραθέσεως τὴν τῶν μεταξὺ χρωμάτων φαντασίαν ἐποίουν· ἀλλὰ καὶ Ἐμπεδοκλῆς οὕτω τὸ ὁρᾶν γίνεσθαι λέγει, ὡς πρὸ ὀλίγου ἐμνημόνευσεν. ὅτι δὲ μὴ ὑγιὴς ἡ δόξα μηδὲ οὕτως οἷόν τε τὸ ὁρᾶν γίνεσθαι, ἀλλ' ὡς αὐτὸς ἔδειξεν, ὑπομιμνῄσκει ἡμᾶς καθόλου δεικνὺς ὅτι μὴ κατὰ τὰς ἀπορροίας τὰς ἀπὸ τῶν ὁρωμένων τὸ ὁρᾶν γίνεσθαι οἷόν τε. εἰ γὰρ οὕτω, δι' ἁφῆς ἡ ἀντίληψις τῇ ὄψει ἔσται, εἴγε τὰ ἀπορρέοντα σώματα ὄντα τῷ ἐμπίπτειν αὐτὰ ἢ ὁραθεισῶν *** οὐκέτι προσέθηκεν τὸ ἑπόμενον ἄτοπον. εἴη δ' ἄν, εἰ εἴη δι' ἁφῆς, δεῖν αὐτὴν ψυχροῦ θερμοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑγροῦ 〈ξηροῦ〉 καὶ τῶν ἁπτῶν ἐναντιώσεων ἀντιλαμβάνεσθαι· οὐδενὸς δὲ τούτων ἀντιληπτική. ἔτι εἰ συνεχὴς ἀπὸ τῶν ὁρωμένων ἀπόρροια, πῶς οὐκ ἀναλίσκεται ταχέως τοσαύτης σωματικῆς ἀποκρίσεως ἀπ' αὐτῶν γινομένης; εἰ δὲ ἀντιπροσκρίνεται αὐτοῖς ἄλλα, πρῶτον μὲν διὰ τί τοῦτο οὐκ ἀεὶ γίνεται ἐπ' αὐτῶν, ὥστε ἴσα [τε] αὐτὰ διαμένειν; τίς τε αἰτία τοῦ ὡρισμένως αὔξεσθαι καὶ πάλιν ὡρισμένως μειοῦσθαι; ἔπειτα πῶς ὁμοιοσχήμονα διαμένει; τὰ μὲν γὰρ ἀπορρέοντα ὁμοιόμορφα (διὰ τοῦτο γοῦν καὶ χρωμάτων ἡ ὄψις ἀντιλαμβάνεται)· τὰ δὲ προσκρινόμενα διὰ τί τοιαῦτά ἐστι; καὶ εἰ συνεχὴς ἡ ἀπόρροια ἀφ' ἑκάστου καὶ κατὰ πάντα τὰ μόρια, πῶς οὐκ ἐμποδίσει τὰ ἀποκρινόμενα τοῖς φερομένοις, ἵνα 〈μὴ〉 προσκριθῇ, ἢ ἐκεῖνα τούτοις, ἵνα μὴ φέρηται; πῶς δὲ λεπτὰ ὄντα οὐ σκεδασθήσεται ἀνέμων ὄντων; ὁρῶμεν γάρ, κἂν ἄνεμος ᾖ μεταξύ.

in Sens.57 ἔτι πῶς διαστήματος ἀντίληψις γίνεται, εἰ τὰ ἐμπίπτοντα ὁ ὀφθαλμὸς ὁρᾷ; πῶς δὲ καὶ μύοντες οὐκ ὀψόμεθα, εἰ οὕτως ἐστὶ τὰ φερόμενα λεπτά; δυνήσεται γὰρ καὶ μυόντων διὰ τῶν πόρων εἴσω χωρεῖν. διὰ τί δὲ καὶ ἐπιτεθέντος τοῦ ὁρωμένου 〈τοῖς ὀφθαλμοῖς〉 οὐκ ὀψόμεθα; καὶ γὰρ τότε ἀπορρεύσεται τὰ εἴδωλα καὶ δέξεται αὐτὰ ὁ ὀφθαλμός. ἢ διὰ τί φωτὸς χρεία πρὸς τὸ ὁρᾶν, δεχομένου τὸ ὁρώμενον τοῦ ὀφθαλμοῦ, γίνεται; ἔτι ἤτοι τὰ ἀπορρέοντα παράκειται τῷ ὀφθαλμῷ ἢ τότε φέρεται, ὅταν εἰς αὐτὰ ἐπιστραφῇ. εἰ μὲν οὖν παράκειται, οὐδ' ὅλως διαστήματος ἀντίληψις ἔσται· εἰ δὲ τότε φέρεται, πρῶτον μὲν ἐν πλείονι χρόνῳ τὰ πλεῖον ἀφεστῶτα ὀψόμεθα, ὅπερ οὐχ οὕτως γινόμενον ὁρῶμεν· εἶτα εἰ τῷ τοῦ ἀέρος τοῦ πρότερον ἀπορρέοντός τε καὶ ἐμπίπτοντος τοῦ εἰδώλου τῇ ὄψει ποσῷ, ὃς καὶ αὐτὸς ἐμπίπτει τῇ ὄψει, κατ' αὐτοὺς τὸ διάστημα ὁραθήσεται, πρῶτον μὲν πῶς τοσοῦτον ἀέρα ἡ ὄψις δέξεται (καθ' ἑκάστην γὰρ φορὰν εἰδώλου τοσοῦτον ἀέρα δέξεται, ὅσος ἐστὶν ὁ μεταξὺ αὐτοῦ τε καὶ τοῦ ὁρωμένου); εἶτα ἕξει τινὰ ἰσχὺν τὰ ἀπορρέοντα εἴδωλα, ὡς τοῦτον προωθεῖν δύνασθαι; εἶτα πῶς, ὅταν ἄνεμος ᾖ, τοῦτο ἔτι σωθήσεται; ὁ γὰρ ἄνεμος ὁρᾶται παρασύρων τὸν μεταξὺ ἀέρα. εἰ δὴ τὰ εἴδωλα λεπτότερα ὄντα διαδύεται τὴν τῶν ἀνέμων βίαν, πῶς οὐχὶ διὰ τοῦ ἀέρος διαδύσεται; τί δὲ ἔσται καὶ τὸ ἀναμετροῦν τὸν εἰσιόντα εἰς τὴν ὄψιν ἀέρα; πῶς δὲ καὶ τὸ μέγεθος καὶ τὸ σχῆμα τοῦ ὁρωμένου ἡ ὄψις κρινεῖ, κατὰ τὸ τῆς κόρης μέγεθος δεχομένη ἀπὸ τοῦ φερομένου εἰδώλου μόριον; καὶ γὰρ εἰ πολλάκις καὶ πολλὰ δέχεται, πῶς καὶ διὰ τί ἄλλοτε ἄλλο μέρος τοῦ εἰδώλου δέξεται, καὶ οὐχὶ ἀεὶ τὸ αὐτὸ καὶ ἐκ διαστημάτων; εἰ δὲ καὶ ἀεὶ τὸ παρακείμενον, τίς ἡ σύνθεσις τούτων ἐν τῇ ὄψει, ὡς θέατρον ἢ ναὸν δοκεῖν ἑωρακέναι διὰ οὕτω μικρῶν μορίων τῶν ἐμπιπτόντων ἀπὸ τοῦ ἀπ' αὐτῶν εἰδώλου φερομένου; πῶς δὲ οὐ μεταξὺ ἀπ' ἄλλων τινῶν εἰδώλων ἐμπιπτόντων τῇ ὄψει τινὰ διασπάσει τὴν τῆς ὄψεως τῆς τοῦ πρώτου συνέχειαν, εἰ δεῖ τοσαυτάκις καὶ τοσαῦτα εἴδωλα ἐνεχθῆναι ἀπό τινος πρὸς αὐτήν, ὡς κατὰ τὸ τῆς κόρης μέγεθος δεχομένην ἀπ' αὐτῶν τι ὅλον ἀεὶ δέξασθαι, ἄλλο ἀπ' ἄλλου εἰδώλου μέρος λαμβάνουσαν; πῶς δὲ καὶ ἀπὸ τῶν λείων ὡς ἐσχηματισμένα τὰ εἴδωλα λαμβάνει, οὐκ ἐχόντων ἐξοχάς; ἢ πῶς ἀπὸ τῶν κατόπτρων; ἢ πῶς αἱ ἐξοχαὶ ἀφ' ὧν δύναται φέρεσθαι μένουσιν ἐν τῇ ὄψει, εἰ οὕτως ἐστὶ λεπτὰ καὶ ἀσθενῆ τὰ εἴδωλα, καὶ οὐ συγχέονται; διὰ τί δὲ κἂν ὀλίγον ἀπελθόντος τοῦ ὁρωμένου, ταῦτα μένει ἢ ἐξ ὧν ἐν τῇ ὄψει; τὸ δὲ λέγειν μυωπίζεσθαι τὴν ὄψιν ὑπὸ τῶν φερομένων ἐπ' αὐτὴν εἰδώλων καὶ διορίζεσθαι καὶ πρὸς τὸ ὁρᾶν παρασκευάζεσθαι οὐκέτι τηρούντων ἐστὶ τὸ διὰ τῶν εἰδώλων γίνεσθαι τὸ ὁρᾶν.

in Sens.58 δῆλον γὰρ ὅτι μυωπισθεῖσα ἡ ὄψις ὑπὸ τοῦ εἰδώλου ἄλλο τι ὄψεται, εἰ μὴ τὸ εἴδωλον. τί οὖν ταῦτα καὶ πῶς; καὶ ταῦτα μὲν καὶ τοιαῦτα λέγειν ἔστι πρὸς τοὺς ἀπὸ τῶν ὁρατῶν ἀπορρεῖν τι λέγοντας καὶ οὕτως ὁρᾶσθαι τὰ ὁρώμενα. Αὐτὸς δὲ μόνον ὑπομνήσας ὅτι μὴ εὔλογον οὕτως τὸ ὁρᾶν γίνεσθαι, ἔχων δεδειγμένον ἐν τοῖς ἔμπροσθεν ὅτι μηδὲ ἀπὸ τῆς ὄψεως οἷόν τε λέγειν ἀπορρεῖν τι καὶ οὕτως ἡμᾶς ὁρᾶν, τίθησι τὴν αὑτοῦ δόξαν, ἣν ἐν τοῖς Περὶ ψυχῆς κατεσκεύασε,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγων· ὥσ τ ʼ εὐθὺς κρεῖττον φάναι τῷ κινεῖσθαι τὸ μεταξὺ τῆς αἰσθήσεως ὑπὸ τοῦ αἰσθητοῦ γίνεσθαι τὴν αἴσθησιν ἢ ἁφῇ καὶ ἀπορροί ᾳ .

in Sens.59 δοκεῖ γὰρ αὐτῷ πάσχουσα μὲν καὶ ἡ ὄψις ὑπὸ τῶν ὁρατῶν αἰσθάνεσθαι, ὥσπερ καὶ τῶν ἄλλων αἰσθήσεων ἑκάστη, ἀλλ’ οὐχὶ ποιοῦσά τι καὶ ἐκπέμπουσα, πάσχουσα δὲ οὐ τῷ δέχεσθαι ἀπορρέοντά τινα ἀπὸ τῶν αἰσθητῶν, ἀλλὰ τῷ τὸ μεταξὺ τῆς τε ὄψεως καὶ τοῦ ὁρωμένου διαφανές, ὅταν κατ’ ἐνέργειαν ᾖ τοιοῦτο (τοιοῦτον δέ ἐστι τὸ πεφωτισμένον), κινεῖσθαι ὑπὸ τῶν ὁρατῶν, τουτέστι τῶν χρωμάτων (κινητικὸν γὰρ τὸ χρῶμα τοῦ κατ’ ἐνέργειαν διαφανοῦς)· τὸν αὐτὸν δὲ τρόπον ὑπὸ τῶν χρωμάτων κινεῖσθαι τὸ κατ’ ἐνέργειαν διαφανές, ὡς κινούμενον ὑπὸ τῆς τοῦ φωτίζειν πεφυκότος παρουσίας τὸ δυνάμει φῶς δέχεταί τε καὶ φωτίζεται. κινούμενον γάρ πως καὶ διατιθέμενον τὸ κατ’ ἐνέργειαν διαφανὲς ὑπὸ τῶν ὁρατῶν τὸ εἶδος αὐτῶν διαδίδωσι τῇ κόρῃ, ὁμοίως ὡς ἔλαβεν, οὔσῃ καὶ αὐτῇ διαφανεῖ. καὶ οὕτως διὰ ταύτης δεχομένης διὰ τοῦ διαφανοῦς τοῦ μεταξὺ 〈τὸ〉 εἶδος τοῦ ὁρωμένου καὶ μέχρι τοῦ πρώτου αἰσθητικοῦ διαδιδούσης αὐτὸ τῷ τὸν μεταξὺ πόρον τοῦ τοιούτου σώματος εἶναι πλήρη, τὸ ὁρᾶν γίνεσθαι εὔλογον, καὶ ὅτι οὐ κατὰ τὰς ἀπὸ τῶν ὁρατῶν ἀπορροίας. ἑξῆς λέγει καὶ τὸ ἑπόμενον ἄτοπον τοῖς ἅμα μὲν τῇ παραθέσει τῶν ἀοράτων διὰ μικρότητα [τῶν] χρωμάτων τὴν μῖξιν τῶν παρὰ τὸ λευκόν τε καὶ μέλαν χρωμάτων γίνεσθαι λέγουσιν, ἅμα δὲ τὴν ἀπόρροιαν τοῦ ὁρᾶν αἰτιωμένοις. p. 440a20 Ἐπὶ μὲν οὖν τῶν πα ρ ʼ ἄλληλα κειμένων ἀνάγκη ὥσπερ καὶ μέγεθος λαμβάνειν ἀόρατον οὕτω καὶ χρόνον ἀναίσθητο ν . Ἔστι δὲ ὃ λέγει ὅτι τοῖς τῇ παραθέσει ταύτῃ τὴν ὁρατὴν τῶν χρωμάτων μῖξίν τε καὶ φύσιν ἀνατιθεῖσιν, ἔτι δὲ τὸ ὁρᾶν τῇ ἀπὸ τῶν ὁρωμένων ἀπορροίᾳ γίνεσθαι λέγουσιν ἕπεται, ὥσπερ σῶμά τι καὶ μέγεθος λαμβάνουσιν ἀόρατον τῇ αὑτοῦ φύσει, οὕτως λέγειν καὶ χρόνον τινὰ ἀναίσθητον εἶναι. πᾶσα μὲν γὰρ κίνησις ἐν χρόνῳ. διὸ καὶ ἡ ἀπὸ τῶν ὁρωμένων ἀπόρροια διὰ κινήσεως ἐπὶ τὰς ὄψεις ἀφικνουμένη δηλονότι ἐν χρόνῳ ἄν τινι ἀφικνοῖτο. τοῦ δὲ τοῦτον τὸν χρόνον ἀναίσθητον αὐτοῖς ἀναγκαῖον εἶναι λέγειν καὶ τὴν αἰτίαν παρατίθησιν. p.

in Sens.60 440a22 Ἵνα λανθάνωσιν αἱ κινήσεις ἀφικνούμεναι καὶ ἓν δοκῇ διὰ τὸ ἅμα φαίνεσθα ι . Ἐπεὶ γὰρ κατὰ βραχὺ γίνεται τῇ ὄψει κατὰ τοὺς οὕτω λέγοντας τὸ ὁρᾶν (ὅσον γὰρ οἵα τε δέξασθαι ἡ κόρη τοῦ εἰδώλου, τοσοῦτον καθ’ ἑκάστην ἔμπτωσιν ὁρᾷ), δοκεῖ δὲ ὡς ἅπαξ καὶ μιᾷ προσβολῇ καὶ ὡς ἓν ὁρᾶν τὸ ὁρώμενον, δεῖ ἐν ἀναισθήτοις χρόνοις τὰς τῶν τηλικούτων ἐμπτώσεις γινομένας διαλανθάνειν, ἵνα μὴ κατὰ μικρὰ ἀλλ’ ἀθρόον αὐτὸ ὁρᾶν δοκῇ. πᾶσι μὲν οὖν τοῖς οὕτω τὸ ὁρᾶν λέγουσι γίνεσθαι ἀναισθήτων χρόνων χρεία· τοῖς δὲ καὶ τὴν τῶν χρωμάτων διαφορὰν τῇ τῶν ἀναισθήτων σωμάτων παραθέσει ἀνατιθεῖσιν, εἴγε καὶ τῇ ἀπορροίᾳ λέγοιεν τῇ ἀπὸ τῶν ὁρωμένων τὸ ὁρᾶν γίνεσθαι, διπλασιάζεται τὸ ἄτοπον. οὐ γὰρ μόνον ἀναίσθητα μεγέθη τούτοις ἀνάγκη λέγειν, ἀλλὰ καὶ χρόνους ἀναισθήτους. δύναται καὶ ὡς ἰδίως ἑπόμενον τὸ δεῖν λέγειν ἀναισθήτους χρόνους εἶναι τοῖς καὶ τῇ τῶν σωμάτων κατὰ μικρὰ παραθέσει τὴν τῶν χρωμάτων διαφορὰν ἀνατιθεῖσιν εἰρηκέναι. οὕτως δ’ ἂν πολλὰ ἂν τὰ ὁρώμενα ὡς ἓν ὄψεταί τις, εἰ λανθάνοι ἡ ἀφ’ ἑκάστου αὐτῶν ἀπόρροια καθ’ αὑτὴν ἐμπίπτουσα τοῖς ὀφθαλμοῖς καὶ δοκεῖ ὡς μία ἅπαξ καὶ ἀφανὲς τοῦ ὁρωμένου γίνεσθαι. p. 440a23 Ἐνταῦθα δὲ οὐδεμία ἀνάγκ η . Ἐνταῦθα λέγει ἐπὶ τῆς δόξης τῆς δι’ ἀλλήλων τὰ χρώματα ὁρᾶσθαι λεγούσης καὶ οὕτως αὐτῶν τὴν μῖξιν ποιούσης. τὸ γὰρ ἐπιπολῆς χρῶμα κινούμενον ὑπὸ τοῦ ὑποκειμένου αὐτῷ ἀλλοίαν τὴν φαντασίαν ποιήσει τοῦ ὁρωμένου, καὶ κατὰ τὰς τῶν ὑποκειμένων διαφορὰς ἔσται καὶ ἡ τοῦ ὁρωμένου φαντασία διάφορος. ὅτι δὲ βελτίων ἡ δόξα αὕτη ἡ περὶ μίξεως χρωμάτων τῆς πρὸ αὐτῆς ἔδειξεν ἐπενεγκὼν τὸ ὥσ τ ʼ εἰ μὴ ἐνδέχεται μηδὲν εἶναι μέγεθος ἀόρατο ν , ἀλλὰ πᾶν ἔκ τινος ἀποστήματος ὁρατό ν .

in Sens.61 ταύτῃ γὰρ ἐκείνης αὕτη πλέον ἕξει, ὅτι οὐκ ἔστι κατὰ ταύτην ἀόρατόν τι σῶμα. περὶ μέντοι τοῦ ἀναισθήτους χρόνους μὴ ἔσεσθαι ἐπὶ ταύτης οὐδὲν εἶπεν, ὅτι ἀνάγκη τοῦτο ἐπὶ ταύτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γίνεσθαι, εἰ κατὰ ἀπορροίας τῶν ὁρωμένων λέγοι τις γίνεσθαι τὸ ὁρᾶν. Δύναται τὸ λεγόμενον οὕτως εἰρῆσθαι. ἐκθέμενος τὰς δύο δόξας, καθ' ἃς οἷόν τε πλείω φαίνεσθαι τὰ χρώματα, τήν τε κατὰ παράθεσιν τῶν διὰ μικρότητα ἀοράτων, ἥτις ἦν δόξα τῶν πρὸ αὐτοῦ, καὶ τὴν κατὰ ἐπιπρόσθησιν, ἑξῆς εἶπε πῶς γινομένου τοῦ ὁρᾶν δύναται σῴζεσθαι τὸ τὴν τῶν χρωμάτων μῖξιν κατά τινα γίνεσθαι τούτων τῶν τρόπων· οὐ γὰρ ταῖς ἀπορροίαις, ὡς ᾤοντο οἱ πρὸ αὐτοῦ (ἁφὴ γὰρ οὕτω καὶ ἡ ὄψις ἔσται), ἀλλὰ τῇ τοῦ μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου διαφανοῦς κινήσει ὑπὸ τῶν ὁρατῶν. εἰπὼν δὲ ὅτι ἄτοπον τὸ τῇ ἀπορροίᾳ τὴν ὄψιν γίνεσθαι λέγειν καὶ δεικνὺς πῶς, παρατίθεται καὶ δείκνυσι τὸ συμβαῖνον ἄτοπον τοῖς παραθέσει τῶν ἀοράτων τὴν τῶν χρωμάτων μῖξιν 〈γίνεσθαι〉 λέγουσιν, εἰ ἀπορροίᾳ γίνεσθαι λέγοιεν τὸ ὁρᾶν. οὐ γὰρ μόνον αὐτοῖς ἀναγκαῖον ἔσται ἀόρατά τινα μεγέθη λέγειν, ἀλλὰ καὶ ἀναίσθητον χρόνον, καὶ διπλασιασθήσεται τὸ ἄτοπον, εἴγε μήτε ἀναίσθητον τῇ αὑτοῦ φύσει μέγεθός ἐστιν, ὡς ἐρεῖ, μήτε ἀναίσθητος χρόνος. πᾶσι μὲν γὰρ τοῖς ἀπορροίας αἰτιωμένοις ἀκολουθεῖ τὸ ἀναίσθητον χρόνον εἶναι λέγειν. εἰ δέ τινες τῇ τῶν ἀοράτων παραθέσει τὴν μῖξιν τῶν χρωμάτων αὐτῶν γίνεσθαι λέγοιεν, ὡς ἔλεγον οἱ πρὸ αὐτοῦ, τούτοις ἀκολουθήσει ἅμα μὲν μεγέθη ὑποτίθεσθαι ἀόρατα εἶναι, ὃ καὶ αὐτὸ ἄτοπον, ἅμα δὲ καὶ χρόνον ἀναίσθητον, ὡς ἴσον εἶναι τὸ ἐπὶ μὲν οὖν τῶν πα ρ ' ἄλληλα κειμένων τῷ 'ἐπὶ μὲν γὰρ τῶν παρ' ἄλληλα κειμένων, ὡς μεγέθη τινὰ ὑποτίθεσθαι ἀόρατα εἶναι, οὕτως ἀνάγκη ἔσται καὶ χρόνους ἀναισθήτους λέγειν.' οὕτως γὰρ τὰ κατὰ μικρὸν ἐμπίπτοντα μόρια τῇ κόρῃ καὶ κατὰ τοσοῦτον, ὅσον ἡ κόρη δέξασθαι δύναται, ὡς ἕν τε καὶ συνεχὲς ὁραθήσεται, εἰ λανθάνοι ἡ διαφορὰ τῶν χρόνων καθ' οὓς ἐμπίπτει τῇ κόρῃ τὰ ὁρώμενα εἴδωλα καὶ εἷς δοκεῖ εἶναι ἐν ᾧ τὸ πᾶν ὁρᾷ.

in Sens.62 δύο δὲ ἄτοπα ἀκολουθήσει τῇ τοιαύτῃ δόξῃ, τό τε μεγέθη τινὰ λέγειν ἀόρατα καὶ χρόνους ἀναισθήτους, ὧν οὐδέτερον ἀληθές, ὡς προελθὼν δείξει. Εἰπὼν δὲ τὸ ἑπόμενον ἄτοπον τοῖς τὸ ὁρᾶν ταῖς ἀπὸ τῶν ὁρωμένων ἀπορροίαις ἀνατιθεῖσι καὶ δείξας αὐτὸ ἐπὶ παραδείγματος τοῦ τὴν τῶν χρωμάτων μῖξιν ἐκ τῆς τῶν ἀοράτων παραθέσεως γίνεσθαι (ἕπεται γὰρ καὶ χρόνους ἀναισθήτους τίθεσθαι), ὅτι μὴ τοῦτο ἕπεται τὸ ἄτοπον τοῖς διὰ τῆς τῶν μεταξὺ κινήσεως τὸ ὁρᾶν γίνεσθαι λέγουσιν ἐπιφέρει, πάλιν ἐπὶ τούτου παραδείγματι χρώμενος τῇ δόξῃ τῇ κατὰ τὴν ἐπιπρόσθησιν τῶν χρωμάτων τὴν μῖξιν αὐτῶν γίνεσθαι λεγούσῃ. λέγει γὰρ ἐνταῦθα οὐδεμία ἀνάγκ η , τὸ ἐνταῦθα λέγων ἐπὶ τῆς δόξης τῆς διὰ τῆς κινήσεως τοῦ μεταξὺ τὸ ὁρᾶν γίνεσθαι λεγούσης, ἣν προέκρινεν αὐτός. οὐκέτι γὰρ τοῖς οὕτω λέγουσι γίνεσθαι τὸ ὁρᾶν ἀνάγκη λέγειν ἀναίσθητόν τι μέγεθος ἢ ἀναίσθητόν τινα χρόνον εἶναι, καὶ διὰ τί δείκνυσιν ἐπὶ τῶν χρωμάτων τῶν ἐπαληλιμμένων ἀλλήλοις· οὔτε γὰρ ἀναίσθητα οὕτως τὰ κεχρωσμένα λαμβάνουσιν οὔτε χρόνου δεησόμενα πρὸς τὸ τὰς ἀπὸ τούτων ἀπορροίας πρὸς τὴν ὄψιν ἐνεχθῆναι. ἀλλὰ τὸ ἐπιπολῆς χρῶμα τῷ διαφανεῖ τῷ μεταξὺ τῆς τε ὄψεως καὶ ἑαυτοῦ γειτνιῶν ἄλλως μὲν διαθήσει τὸ διαφανὲς τὸ μεταξὺ ἁπλοῦν τε καὶ καθ' ἑαυτὸ ὄν, ἄλλως δέ, εἰ εἴη τι αὐτῷ ὑποκείμενον ὑφ' οὗ πάσχοι. οὐ γὰρ ὡς ἁπλοῦν ἔτι διατίθησι τὸ μεταξὺ διαφανές, ἀλλ' ὡς μεμιγμένον καὶ ἕτερόν τι ὂν διὰ τὴν τοῦ ὑπαληλιμμένου χρώματος αὐτῷ διαφορὰν καὶ τὸ ὑπ' αὐτοῦ πάθος γινόμενον ἐν αὐτῷ. εἰπὼν δὲ ταῦτα καὶ δείξας ἐπιφέρει· ὥσ τ ' εἰ μὴ ἐνδέχεται μηδὲν εἶναι μέγεθος ἀόρατο ν , ἀλλὰ πᾶν ἔκ τινος ἀποστήματος ὁρατό ν , καὶ αὕτη τις ἂν εἴη χρωμάτων μῖξι ς , λέγων ὅτι εἰ μὴ εἴη μεγέθη τινὰ ἀόρατα, ἡ ἐκείνως λεγομένη μῖξις γίνεσθαι τῶν χρωμάτων κατὰ τὴν τῶν ἀοράτων παράθεσιν οὐκ ἂν εἴη, εἴγε μηδὲν μέγεθος ἀόρατον, αὕτη δὲ ἡ δευτέρα δόξα ῥηθεῖσα γίνοιτ' ἂν καὶ αὐτὴ τῆς τῶν χρωμάτων μίξεως αἰτία, ἡ κατὰ τὴν ἐπάλειψιν καὶ ἐπιπρόσθησιν ἄλλου ἄλλῳ.

in Sens.63 ἐρεῖ γὰρ καὶ ἄλλην τινὰ καὶ τήνδε κυριωτέραν. Καὶ μὴ ὄντων δὲ μεγεθῶν ἀοράτων τινῶν, ὅμως φησὶ μηδὲν κωλύειν καὶ τῇ παραθέσει τῶν χρωμάτων δόξαι τινὰ μῖξιν γίνεσθαι τοῖς ἀπὸ πλείονος διαστήματος ὁρῶσι τὰ τοῦτον τὸν τρόπον παρακείμενα. περὶ γὰρ τοῦ μηδὲν εἶναι

μέγεθος ἀόρατον τῇ αὐτοῦ φύσει μηδὲ οὕτως δύνασθαι τὴν μῖξιν τῶν χρωμάτων γίνεσθαι, ὡς ἐκ τῆς τῶν ἀοράτων πυρῶν παραθέσεως, ἐν ὑστέρῳ, φησί, δειχθήσεται. p. 440a31 Εἰ δέ ἐστι μῖξις τῶν σωμάτων μὴ μόνον τὸν τρόπον τοῦτον ὅνπερ οἴονταί τινε ς , πα ρ ’ ἄλληλα τῶν ἐλαχίστων τιθεμένω ν , ἀδήλων δὲ ἡμῖν διὰ τὴν αἴσθησι ν . Διὰ τούτων τίθησι τὴν αὑτοῦ δόξαν, ᾗ συγκατατίθεται μᾶλλον τῶν προειρημένων. αἱ μὲν γὰρ προειρημέναι οὐ μῖξιν χρωμάτων, ἀλλὰ φαντασίαν μίξεως εἰσάγουσιν· διὸ οὐδὲ ὑπόστασίν τινα διδόασι τοῖς ἄλλοις χρώμασιν. 〈καθ’〉 ἣν δὲ αὐτὸς νῦν τίθησι δόξαν, μῖξις τε ἀληθῶς ἐστι χρωμάτων, καὶ ὕπαρξις ἔστι δὲ ἡ κατὰ μῖξιν τῶν σωμάτων γινομένη. εἰ γὰρ ἔστι μῖξις τῶν σωμάτων, οὐ κατὰ παράθεσιν μόνον, ὡς ᾤοντο οἱ πρὸ αὐτοῦ, παρ’ ἄλληλα τιθεμένων τῶν ἐλαχίστων καὶ ἀδήλων ἡμῖν διὰ τὸ ἀναίσθητα εἶναι, ἀλλὰ καὶ ὅλων δι’ ὅλων τρεπομένων, ὡς ἐν τοῖς Περὶ γενέσεως δέδειχε περὶ μίξεως λέγων (τοῖς μὲν γὰρ παραθέσει τὴν μῖξιν γίνεσθαι λέγουσιν ἀκολουθεῖ ταῦτα μόνον μίγνυσθαι λέγειν ἀλλήλοις, ὅσα ἐνδέχεται διελεῖν εἰς τὰ ἐλάχιστα. ἔστι δὲ ταῦτα ἐφ’ ὧν οἷόν τε τῶν ὁμοειδῶν ἕν τι κατ’ ἀριθμὸν λαβεῖν, ὃ μηκέτι εἰς ὅμοια διαιρεῖται· διὸ καὶ ἀδιαίρετον ταύτῃ.

in Sens.64 ἔστι δὲ τοῦτο ἐπὶ τῶν στερεῶν τε καὶ ἀνομοιομερῶν, οἷον ἀνθρώπων, ἵππων, κυνῶν, βοῶν, σπερμάτων. ἐν ἑκάστῳ γὰρ τούτων ἐστί τι τὸ κατ’ ἀριθμὸν ἕν, ὃ καὶ ἐλάχιστόν ἐστι τῶν ἐν τῷ αὐτῷ γένει, τῷ μηκέτ’ εἰς ὅμοια διαιρεθῆναι δύνασθαι· οὔτε γὰρ ὁ εἷς κατ’ ἀριθμὸν ἄνθρωπος εἰς ἀνθρώπους ἔτι διαιρεῖται οὔτε ὁ ἵππος οὔτε ἄλλο τι τῶν τοιούτων. τῶν δὴ τοιούτων καὶ οὕτως ἀδιαιρέτων ἑκάστων κατὰ παράθεσιν μῖξις. ἵπποι γὰρ κυσὶ καὶ ἀνθρώποις καὶ κριθαὶ πυροῖς καὶ κέγχροις οὕτω μίγνυνται τῇ τῶν ἐλαχίστων ἐν αὐτοῖς σῳζομένων παραθέσει, ὅταν πολλὰ ᾖ· οὐ γὰρ δὴ εἷς ἵππος ἑνὶ ἀνθρώπῳ παρατεθεὶς μεμῖχθαι λέγεται ἢ εἷς πυρὸς κριθῇ μιᾷ. ὅσα δὲ ὑγρά τε καὶ ὁμοιομερῆ καὶ μὴ οἷόν τε αὐτῶν τὸ ἐλάχιστον λαβεῖν, ταῦτα οὐκέτι οἷόν τε τῇ παραθέσει τῶν ἐλαχίστων μίγνυσθαι λέγειν, ἀλλ’ ἐν τούτοις διὰ παντὸς ἡ μῖξις, ἃ καὶ κυρίως μεμῖχθαι λέγεται· ἔστι δὲ ταῦτα ἐφ’ ὧν τὸ κεκρᾶσθαι κατηγοροῦμεν. πῶς δὲ τοῦτο δυνατὸν ὅλον τι δι’ ὅλου μίγνυσθαι ἔδειξεν ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς, ὅτε περὶ μίξεως ἔλεγε· διὸ καὶ λέγει ἐν τοῖς Περὶ μίξεως εἰρηκέναι. εἶπε γὰρ ἐκεῖ τὸ τὴν ὕλην [δι’] ἀμφοτέρων τῶν μεμιγμένων εἶναι τὴν αὐτήν, καὶ διὰ τοῦτο ἑκάτερον αὐτῶν καὶ ποιητικὸν τοῦ ᾧ μίγνυται καὶ παθητικὸν ὑπ’ ἐκείνου εἶναι, ὅταν ἰσάζωνται ταῖς δυνάμεσι τὰ μιγνύμενα [ἢ], ὡς μὴ τὸ ἕτερον αὐτῶν κατισχῦσαν θάτερον εἰς τὸ ἴδιον εἶδος αὑτοῦ μεταβάλλειν, ἀλλ’ ὡς ἑκάτερον ἅμα ποιοῦν τε καὶ πάσχον, ἀποβάλλοντα τὰς ὑπεροχάς, ὧν παρουσῶν ἦν ἀλλήλων διαφέροντα, καὶ τὸ μὲν ὕδωρ φέρε εἰπεῖν, τὸ δὲ οἶνος, ἐν μέσῳ καταστῇ, καὶ ἕν τι εἶδος ἐξ ἀμφοτέρων γένηται καὶ ἡνωμένα, ἀλλ’ οὐ παραθέσει τῷ εἶναι εὐόριστα καὶ ὑγρὰ τό τε δι’ ὅλων τι μεμῖχθαι. καὶ ἡ τοιαύτη μῖξις ἅμα καὶ κρᾶσις καλεῖται), οὕτω δὴ μιγνυμένων τῶν σωμάτων ἀνάγκη καὶ τὰ χρώματα τὰ ἐν τοῖς σώμασι τοῖς μιγνυμένοις μίγνυσθαι ἀλλήλοις ὅλα δι’ ὅλων.

in Sens.65 Ὥσπερ οὖν καὶ τὰ ἄλλα αὐτῶν πάθη, οὕτω δὴ καὶ ἡ τῶν ἐναντίων χρωμάτων μῖξις ἔστιν, ἣν καὶ αἰτίαν φησὶ τοῦ πολλὰς εἶναι χρόας· οὐ γὰρ τὴν ἐπιπόλασιν οὐδὲ τὴν παράθεσιν πολλὰ ποιεῖν χρώματα, ἀλλὰ μόνον φαντασίαν πλειόνων. ἐπὶ δὲ τῆς τοιαύτης μίξεως πρὸς ἀλήθειαν πολλὰ τὰ χρώματα γίνεται. ὅτι γὰρ μὴ τῷ φαίνεσθαι μόνον τὸ πλῆθος τῶν χρωμάτων, ἀλλὰ τῇ ὑποστάσει, ἔδειξε διὰ τοῦ εἰπεῖν οὐ γὰρ πόρρωθεν μὲν ἐγγύθεν δὲ οὐ φαίνεται μία χροιά. τὰ γὰρ τῇ φαντασίᾳ πολλὰ καὶ διαφέροντα, οὐ τῇ ὑποστάσει, πόρρωθεν μὲν ὁρώμενα ἄλλα φαίνεται, ἐγγύθεν δὲ τὰ αὐτά, ὥσπερ καὶ τὰ ἔξω τὴν τῶν ἄλλων μῖξιν ποιοῦσι. πολλὰς δέ φησι διαφορὰς ἔσεσθαι χρωμάτων τῶν κατὰ τὴν τοιαύτην μῖξιν τῷ κατὰ διαφέροντας λόγους αὐτῶν τὴν μῖξιν γίνεσθαι, καὶ τὰ μὲν ἐν ἀναλογίᾳ τινὶ καὶ λόγῳ τῶν μιγνυμένων γίνεσθαι, τὰ δὲ καθ’ ὑπεροχὴν μόνον, ὥσπερ ἐλέγετο καὶ ἐπὶ τῆς παρ’ ἄλληλα τῶν ἀοράτων θέσεως ἢ τῶν ἐπιτιθεμένων ἄλλων ἄλλοις. ὡς γὰρ ἐπ’ ἐκείνων λέγεσθαι ἐδύνατο τὸ πλῆθος γίνεσθαι τῶν χρωμάτων τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιᾷ σχέσει τῶν παρακειμένων ἢ ἐπιπροσθούντων, οὕτω καὶ ἐπὶ τῆς μίξεως τῇ ποιᾷ τῶν μιγνυμένων σχέσει πρὸς ἄλληλα. διὰ γὰρ τὴν τοιαύτην τῶν μιγνυμένων διαφορὰν ἔσται καὶ τὰ μὲν ἡδέα μᾶλλον, τὰ δὲ ἧττον τῶν χρωμάτων. Εἰπὼν δὲ ταῦτα, διὰ ποίαν αἰτίαν τὰ εἴδη τῶν χρωμάτων ἐστὶν ὡρισμένα, ἀλλ' οὐχὶ ἄπειρα, ὁμοίως δὲ καὶ τῶν ἄλλων αἰσθητῶν, χυμῶν τε καὶ ψόφων καὶ τῶν ὀσφραντῶν τε καὶ ἁπτῶν, ὕστερόν φησιν ἐπισκεπτέον· ἐρεῖ δὲ τὴν αἰτίαν προϊών. ὧν γάρ ἐστι τὰ πέρατα καὶ τὰ ἔσχατα ὡριμένα, τούτων ἀνάγκη καὶ τὰ μεταξὺ ὡρίσθαι. ἐν οἷς δὲ γένεσίς ἐστιν ἐναντία, πέρατα τούτων τὰ ἐναντία· τὰ μὲν γὰρ ἐναντία πλεῖστον ἀλλήλων διέστηκε, τὰ δὲ πλεῖστον διεστῶτα πέρατα, ὅταν ἐν ταὐτῷ ἡ διάστασις αὐτῶν ᾖ γένει.

in Sens.66 πάντα δὲ τὰ αἰσθητὰ ἐναντίωσιν ἔχει, ὥστε πάντων τῶν αἰσθητῶν τὰ πέρατα ὥρισται, καὶ διὰ ταῦτα καὶ τὰ μεταξύ. καὶ τί μέν ἐστι τὸ χρῶμα καὶ διὰ τίνα αἰτίαν πολλὰ χρώματα καὶ διαφέροντα ἀλλήλων ἔστιν εἰρῆσθαί φησιν, ὅπερ ἦν προκείμενον. p. 440b27 Περὶ δὲ ψόφο υ , φησί ν , εἴρηται πρότερον ἐν τοῖς Περὶ ψυχῆ ς . Προθέμενος περὶ αἰσθητῶν λέγειν, περὶ μὲν χρωμάτων, ἅ ἐστιν ὁρατά, εἴρηκε, περὶ δὲ ψόφου καὶ φωνῆς ἐν τοῖς Περὶ ψυχῆς φησιν αὐτάρκως εἰρῆσθαι. εἴρηκε δὲ ἐν ἐκείνοις ὅτι ψόφος μέν ἐστι τοῦ ψοφητικοῦ ἐνέργεια, ἔστι δὲ ψοφητικὸν μὲν ὁ ἀήρ, ἡ δὲ ἐνέργεια αὐτοῦ γίνεται ὡς ψοφητικοῦ ὑποκειμένου, ὥστε καὶ πληγῇ τοιαύτῃ τε καὶ ὑπὸ τοιούτων ὑφ' ὧν θρύπτεσθαι φερόμενος κωλύεται· γίνεται δὲ τοῦτο, ὅταν θᾶττον ἡ ἀπὸ τῆς πληγῆς κίνησις ἐν αὐτῷ γένηται τῆς οἰκείας αὐτοῦ θρύψεως. φωνὴ δὲ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τοῖς μορίοις τούτοις ψυχῆς πρὸς τὴν καλουμένην ἀρτηρίαν μετά τινος φαντασίας. p. 440b28 Περὶ δὲ ὀσμῆς καὶ χυμοῦ λεκτέον · σχεδὸν γάρ ἐστι τὸ αὐτὸ πάθο ς , οὐκ ἐν τοῖς αὐτοῖς δέ ἐστιν ἑκάτερον αὐτῶ ν . Περὶ ὀσμῆς καὶ χυμοῦ προθέμενος λέγειν, ὧν τὸ μὲν τῇ ὀσφρήσει αἰσθητόν ἐστι, τὸ δὲ τῇ γεύσει, τοῦ ἅμα αὐτῶν μνημονεῦσαι τὴν αἰτίαν παρέθετο εἰπὼν σχεδὸν γάρ ἐστι τὸ αὐτὸ πάθο ς , οὐκ ἐν τοῖς αὐτοῖς δ έ , τὸ μὲν αὐτὸ πάθος, ὅτι δοκεῖ αὐτῷ καὶ ὁ χυμὸς καὶ ἡ ὀσμὴ ἐναποπλυνομένου καὶ ὥσπερ ἀποματτομένου τοῦ ἐν χυμοῖς ξηροῦ ἐν τῷ ὑγρῷ γίνεσθαι, οὐκ ἐν τῷ αὐτῷ δέ, ὅτι ὁ μὲν χυμὸς ἐν τῷ ὕδατι, ἡ δὲ ὀσμὴ μάλιστα μὲν ἐν τῷ ἀέρι, γίνεται δὲ καὶ ἐν τῷ ὕδατι. ἀλλὰ περὶ μὲν τούτων προϊὼν δείξει.

in Sens.67 εἰπὼν δὲ σχεδὸν τὸ αὐτὸ πάθος εἶναι, τουτέστι δι' ὁμοίου πάθους ἑκατέραν τῶν ποιοτήτων τούτων γίνεσθαι, τοῦ ὁμοίων ὄντων αὐτῶν καὶ ὁμοίως γινομένων ἐναργέστερον τὸν χυμὸν ἡμῖν τῆς ὀσμῆς εἶναι τὴν αἰτίαν προστίθησιν, ὅτι γὰρ χειρίστην [τε] ἔχομεν αἴσθησιν τὴν ὄσφρησιν τῶν τε ἄλλων ζῴων καὶ πασῶν τῶν ἐν ἡμῖν αὐτοῖς αἰσθήσεω ν , ἀκριβεστάτην πάλιν τὴν ἁφὴν τῶν τε ἄλλων αἰσθήσεων καὶ τῶν ἄλλων ζῴων (διὰ τοῦτο γοῦν οὐδὲ τὰς ὑπερβολὰς τὰς κατὰ τὸν χειμῶνα καὶ θέρος φέρειν ὁμοίως τοῖς ἄλλοις δυνάμεθα)· καὶ ἡ γεῦσις δὲ ἁφῆς. εἴρηκε δὲ περὶ τούτων καὶ ἐν τοῖς Περὶ ψυχῆς. p. 441a3 Ἡ μὲν οὖν τοῦ ὕδατος φύσις βούλεται ἄχυμος εἶνα ι . Πρῶτον τοῦ περὶ χυμῶν ἄρχεται λόγου, καὶ τὸ μὲν 〈τὸ〉 ὕδωρ ἄχυμον εἶναι καθ' αὑτὸ καὶ μὴ αἰσθητὸν τῇ γεύσει ὡς ἐναργὲς λαμβάνει (τὰ γὰρ μάλιστα καθαρὰ καὶ εἰλικρινῆ ὕδατα τοιαῦτα), οὐδ' ἄλλο δέ τι τῶν ἁπλῶν σωμάτων ἔγχυμον καθ' αὑτό, ὡς ἐρεῖ. ἐπεὶ δὲ δοκεῖ ἐν τοῖς ὑδατώδεσιν ὁ χυμὸς εἶναι καὶ ἡ γεῦσις διὰ τοῦ τοιούτου ὑγροῦ γίνεσθαι (ἄνευ γὰρ τοιαύτης ὑγρότητος οὐχ οἷόν τε γεῦσιν γίνεσθαι, 〈ὡσ〉 ἐν τοῖς Περὶ ψυχῆς εἴρηται, ἀλλ' ἔστι παρὰ τὰς τῶν ὑγρῶν μεταβολάς), πῶς δ' ἐν τούτῳ γίνεται ζητεῖ, καὶ πρῶτόν γε ἐκτίθεται τὰς προκαταβεβλημένας δόξας περὶ τούτων, αἷς ἀντειπὼν ἐκτίθεται τὴν δόξαν τὴν ἑαυτοῦ. ἢ γὰρ ὡς Ἐμπεδοκλεῖ δοκεῖ, ἀνάγκη τὸ ὕδωρ ἔχειν ἐν αὑτῷ πάντα τὰ γένη πάντων τῶν χυμῶ ν , τουτέστι πάντα τὰ εἴδη τῶν χυμῶν, ἐγκαταμεμιγμένα, ἀναίσθητα δὲ διὰ μικρότητ α , τουτέστι διαφεύγοντα τὴν αἴσθησιν διὰ τὴν μικρότητα, καὶ δηλονότι διεσπάρθαι καὶ ὀλίγον ἔγχυμον μεμῖχθαι, ὅταν δὲ ὑπὸ τῶν φυτῶν ἢ ὅλως ὑπὸ τῶν χυμόν τινα ἔχειν δοκούντων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑλκυσθῇ καὶ ἀθροισθῇ τε καὶ ἅμα γένηται πλείω ὅμοια ἀλλήλοις, τότε αἰσθητὰ ἐν τούτοις αὐτὰ γίνεσθαι καὶ διαφέροντα 〈τὰ〉 ἀπὸ τοῦ ὕδατος ἑλκυσθέντα ἀναίσθητα.

in Sens.68 Ἢ δεῖ τοὺς χυμοὺς οὕτως ἐκ τοῦ ὕδατος ἀεὶ γίνεσθαι, ἢ μὴ ἔχειν μὲν τὸ ὕδωρ τοὺς χυμοὺς ἤδη κατ' ἐνέργειαν, εἶναι δὲ αὐτὸ ὕλην τῶν χυμῶν. τὸ δὲ οἷον πανσπερμίαν χυμῶν εἶπεν ἀντὶ τοῦ πάντων τῶν χυμῶν ἔχειν ἐν αὐτῷ τὰ γεννητικά, οὐ μὴν κατὰ ταὐτὸ μόριον δεκτικὸν εἶναι. καὶ γὰρ οἱ πάντα ἐν πᾶσι μεμῖχθαι λέγοντες, ὡς Ἀναξαγόρας, ἐκ πάντων μὲν πάντα ἐκκρίσει γεννῶσιν, οὐ μὴν δὲ ἐκ τοῦ αὐτοῦ μορίου διαφέροντα. ἐκ γὰρ τοῦ αὐτοῦ μίγματος τῇ μὲν ἐκκρίσει τῶν ὀστῶν καὶ τῇ πρὸς ἄλληλα συγκρίσει ὀστοῦν φησι γίνεσθαι, τῇ δὲ τῶν νεύρων νεῦρον, ἀλλ' οὐ τῇ τῶν ὀστῶν νεῦρον. τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ὕδωρ φησὶν ὕλην τῶν χυμῶν εἶναι, οὐχ ὡς ἐκ τοῦ τυχόντος τὸν τυχόντα χυμὸν γίνεσθαι, ἀλλ' ὡς ἐκ τοῦδε τόνδε κατ' ἐπιτηδειότητα τοῦ λαμβανομένου ὕδατος πρὸς ἕκαστον τῶν χυμῶν, ὡς ἅπαντας μὲν ἐξ ὕδατος γίνεσθαι, ἄλλον δὲ ἐξ ἄλλου μέρους καὶ κατὰ τὰς τῶν διαφόρων ὑδάτων πέψεις τε καὶ συστάσεις τὴν τῶν χυμῶν διαφοράν, τῷ εἶναι μὲν ἐν τῷ ὕδατι τὰ πάντων γεννητικὰ τῶν χυμῶν σώματα, οὐ μὴν ἐν πᾶσι ταὐτά, ἀλλ' ἐν μὲν τῷδέ τινι τὰ τούτων, ἐν δὲ τῷδε πάλιν τὰ ἄλλου τινός, καὶ οὕτως γίνεσθαι μὲν τοὺς χυμοὺς ἐκ τοῦ ὕδατος πάντας 〈ὡσ〉 ἐξ ὕλης, 〈ὡσ〉, ἐξ ὧν τὸ ὕδωρ ἐστίν, ἐκ τούτων γίνεσθαι τοὺς χυμούς, οὐ μὴν τὸν τυχόντα χυμὸν ἐκ τοῦ τυχόντος ὕδατος τῷ μηδ' ἔχειν πᾶν μόριον ὕδατος τὰ πάντων τῶν χυμῶν γεννητικὰ σώματα ἐν αὐτῷ. εἴη δ' ἂν διὰ τούτων μνημονεύσας τῆς δόξης τῶν περὶ Δημόκριτον, οἳ τὰς ἀτόμους στοιχεῖα πάντων ἔθεντο. ὅτι δὲ ἡ δόξα αὕτη ἄλλη τῆς Ἐμπεδοκλέους δῆλον· κατὰ μὲν γὰρ τὴν Ἐμπεδοκλέους δόξαν προϋπάρχουσιν ἐνεργείᾳ οἱ χυμοὶ ἐν τῷ ὕδατι, κατὰ δὲ ταύτην γίνονται [καὶ] κατ' ἐπιτηδειότητα τὴν πρὸς αὐτοὺς τῶν τοῦ ὕδατος μορίων. Τρίτην προστίθησι δόξαν ταῖς προειρημέναις τὴν λέγουσαν τὸ μὲν ὕδωρ αὐτὸ μηδεμίαν ἔχειν διαφορὰν ἐν αὑτῷ, ὡς ἐκ τοῦδε μὲν τοῦ μέρους αὐτοῦ τόνδε γίνεσθαι τὸν χυμόν, ἐκ τοῦδε δὲ ἄλλον, ἀλλ' ὅμως παντὸς χυμοῦ ὕλην εἶναι, αὐτὸ δὲ τὸ ποιητικὸν τῶν ἐν τῷ ὕδατι χυμῶν γινομένων τῆς τῶν ἐν αὐτῷ γινομένων χυμῶν διαφορᾶς αἴτιον γίνεσθαι, οἷον εἴ τις τὸν ἥλιον ἢ ὅλως τὸ θερμὸν λέγοι ποιητικὸν τῶν χυμῶν.

in Sens.69 τῷ γὰρ μᾶλλον ἢ ἧττον [τῷ] θερμαίνειν καὶ τῇ τῆς θερμότητος διαφορᾷ καὶ τῆς πέψεως τῆς ἀπὸ τῆς θερμότητος γινομένης τὴν τῶν ἐν τῷ ὕδατι χυμῶν διαφορὰν ἀνάπτουσιν. Εἰς δὲ τὰς προειρημένας δόξας, πρῶτον πρὸς τὴν Ἐμπεδοκλέους ἐνίσταται καὶ δείκνυσιν αὐτὴν ψευδῆ τε καὶ ἐπιπόλαιον. εἰ γὰρ ἐν τῷ ὕδατι οἱ χυμοὶ καὶ τῷ ἕλκειν αὐτοὺς τὰ φυτὰ οἵ τε ἐν τοῖς καρποῖς χυμοὶ καὶ οἱ ἄλλοι καὶ αἱ διαφοραὶ αὐτῶν ἐν τῷ ἑλκομένῳ ὕδατι καὶ ἀπὸ τούτου, ἔδει, ὅτε μὴ ἕλκει τὰ φυτὰ τὸ ὕδωρ, μηκέτι μεταβολὴν τῶν χυμῶν τῶν ἐν τοῖς καρποῖς αὐτοῖς γίνεσθαι, ἀλλὰ μένειν αὐτοὺς τοιούτους, ὁποῖοι ἀπὸ τοῦ ὕδατος ἐλήφθησάν τε καὶ εἱλκύσθησαν. νῦν δὲ ὁρῶμεν μετὰ τὸ ἀφαιρεθῆναι τοὺς καρποὺς ἐκ τῶν φυτῶν καὶ τεθῆναι ἐν τῷ ἡλίῳ, ἀφαιρεθέντων αὐτῶν τῶν σκεπόντων αὐτοὺς περικαρπίων, ὡς ἐπὶ τῶν καρύων, πλείστην αὐτοὺς μεταβολὴν ἐν τῷ θερμαίνεσθαι λαμβάνοντας. καὶ τὸ ἀλ λ ' ἐν αὐτῷ τῷ περικαρπίῳ μεταβάλλοντας ἴσον ἂν εἴη τῷ 'ἀλλὰ παρὰ τὴν τοῦ περικαρπίου μονήν τε καὶ ἀφαίρεσιν ἀλλασσομένους καὶ μεταβάλλοντας ἐν τούτῳ καὶ γινομένους ὁποῖοί εἰσιν.' οὗ σημεῖον τὸ περιαιρεθέντων αὐτῶν μεταβάλλειν κατὰ τοὺς χυμοὺς αὐτὰ δύνασθαι. ἀλλὰ καὶ τὸ ἀφαιρουμένων τῶν περικαρπίων εἴρηκεν ἀντὶ τοῦ 'τῶν καρπῶν ἀφαιρουμένων ἀπὸ τῶν φυτῶν', οἳ ἀφαιροῦνται τῷ τὰ ἐν οἷς εἰσιν ἀφαιρεθῆναι. εἰσὶ δὲ ἐν τοῖς περικαρπίοις ἄπεπτά τέ τινα καὶ πικρά, ἃ ἀφαιρεθέντα μείναντά τινα χρόνον πέσσεταί τε καὶ ἐδώδιμα γίνεται, ὡς τοῦ ὄντος ἐν αὐτοῖς ὑγροῦ μεταβάλλοντος κατὰ τοὺς χυμούς, ἀλλ' οὐκ ἐκ τοῦ ἐκτὸς ὕδατος τῶν χυμῶν σπωμένων. ἀλλὰ καὶ ἀπὸ τῶν καρπῶν διακριθέντες τε καὶ χωρισθέντες οἱ χυμοί, ὡς

ἀπὸ τῶν σταφυλῶν ὁ οἶνος καὶ τὸ ἔλαιον ἀπὸ τῶν ἐλαιῶν, πολλὰς ἴσχουσι διαφορὰς κατὰ τοὺς χυμοὺς καὶ μεταβολάς.

in Sens.70 ἐξ ὧν δῆλον ὅτι μὴ τῷ ἀπὸ τοῦ ὕδατος αὐτοὺς ἐγγίνεσθαι ἐνυπάρχοντας αὐτῷ ἐνεργείᾳ τὴν οὐσίαν ἔχουσιν. ἀλλὰ καὶ ἑψόμενοι οἱ χυμοὶ παντοδαποὶ γίνονται· καίτοι γε οὐκέτι σπῶνται ἐκ τοῦ ὕδατος. οὕτως ἑψόμενος ὁ οἶνος καὶ τὰ ἄλλα τοὺς χυμοὺς ἐν τῇ ἑψήσει παντοδαποὺς ἴσχει. Εἰπὼν δὲ ταῦτα πρὸς τὴν δόξαν τὴν Ἐμπεδοκλέους, ὁμοίως τούτῳ φησὶν ἀδύνατον καὶ τὸ πανσπερμίας ὕλην εἶναι τὸ ὕδωρ τῷ ἐξ ἄλλου μορίου αὐτοῦ ἄλλον γίνεσθαι χυμόν. ὁρῶμεν γὰρ ὅτι ἐκ τοῦ αὐτοῦ ὕδατος διαφέροντες χυμοὶ γίνονται, ὥσπερ καὶ ἐκ τῆς αὐτῆς τροφῆς διαφέροντα σώματα· καὶ γὰρ νεῦρον καὶ ὀστοῦν καὶ σὰρξ καὶ φλέψ. ἢ γὰρ τῷ τὰ λαμβάνοντα τὸ ὕδωρ διαφέρειν ἀλλήλων, ὡς τὰ φυτὰ ἐγγὺς ἀλλήλων ὄντα, εἰ τὸ μὲν εἴη ἄμπελος, τὸ δὲ συκῆ, τὸ δὲ ἐλαία, τὸ δὲ ἄλλο τι· ἀλλὰ καὶ ἐν ἑκάστῳ φυτῷ 〈δῆλον〉 ἄλλον μὲν χυμὸν 〈εἶναι〉 τοῦ φύλλου, ἄλλον δὲ τοῦ περικαρπίου, καὶ αὐτοῦ τούτου ἄλλον μὲν ὄντος ἀπέπτου, ἄλλον δὲ πεπεμμένου. ἀλλὰ καὶ ὅλως πλασματώδης ἡ δόξα καὶ οὐδὲν πιθανὸν ἔχουσα. Δείξας δὲ καὶ ταύτην τὴν δόξαν ἄτοπον, ἐπὶ τὴν τρίτην μέτεισιν, ἥτις αὐτὸ μὲν τὸ ὕδωρ ἀδιάφορον ἔλεγεν εἶναι, αἴτιον δὲ τὸ πάντων ποιητικὸν καὶ κινητικὸν αὐτοῦ, τοῦτο δὲ ἦν τὸ θερμόν, 〈ᾧ〉 τῆς ἐν αὐτῷ τῶν χυμῶν γενέσεώς τε καὶ διαφορᾶς τὴν αἰτίαν ἀνατίθησιν. αἰτιᾶται δὲ καὶ ταύτης τῆς δόξης τὸ ὑπὸ τοῦ θερμοῦ λέγειν μόνου ἐν τῷ ὕδατι γίνεσθαι χυμούς· συνεργὸν μὲν γὰρ καὶ τὸ πῦρ καὶ τὸ θερμὸν τῇ τῶν χυμῶν γενέσει, ὡς γῆ, ἐν τῷ ὕδατι, ὡς καὶ αὐτός φησιν, οὐ μὴν μόνον αὐτὸ δύναται ποιητικὸν εἶναι τῶν χυμῶν. ὃ δεικνὺς λαμβάνει ὅτι λεπτότατον πάντων τῶν οὕτως ὑγρῶ ν , τουτέστι τῶν ἀναπληστικῶν, τὸ ὕδωρ ἐστί.

in Sens.71 διὸ οὐδὲ παχύνεται θερμαινόμενον καθ' αὑτό. εἰ δὲ μὴ παχύνεται, οὐδὲ χυμόν τινα λαμβάνει αὐτὸ καθ' αὑτὸ θερμαινόμενόν τε καὶ ἑψόμενον· πάντες γὰρ οἱ χυμοὶ πάχος ἔχουσ ι . εἰπὼν δὲ λεπτότατον εἶναι πάντων τῶν τοιούτων ὑγρῶν τὸ ὕδωρ, τὸ ἔλαιον ἐπιπολάζειν τῷ ὕδατί φησιν οὐ διὰ λεπτότητα, ἀλλὰ διὰ γλισχρότητ α , καὶ ταύτῃ καὶ ἐπεκτείνεσθαι ἐπὶ πλέον καὶ ἀναπληστικὸν μᾶλλον τοῦ ὕδατος εἶναι διὰ τὴν αὐτὴν αἰτίαν. τὸ δὲ ὕδωρ ψαθυρὸν καὶ εὔθρυπτον· διὸ καὶ οὐκ εὐφύλακτον οὐδὲ ἀναπληστικὸν ὁμοίως. λαβὼν δὲ τὸ εἶναι λεπτότατον τὸ ὕδωρ, πιστοῦται τοῦτο καὶ διὰ τοῦ θερμαινόμενον αὐτὸ καθ' αὑτὸ [τῷ] μηδεμίαν σύστασιν λαμβάνειν· διὰ δὲ τὴν λεπτότητα οὐ παχύνεται ἑψόμενόν τε καὶ θερμαινόμενον. πάντες δὲ οἱ χυμοὶ ἐν συστάσει τινί, ὥστ' εἰ μὴ τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ συνίσταται καθ' αὑτό, οὐδ' ἂν τῶν ἐν αὐτῷ γινομένων χυμῶν τὸ θερμὸν μόνον αἴτιον εἴη, ἀλλὰ συναίτιο ν . Εἰπὼν δὲ ταῦτα καὶ δείξας ὅτι τὸ θερμὸν συναίτιον μὲν τῆς τῶν χυμῶν ἐν τῷ ὕδατι γενέσεώς ἐστιν, οὐ μὴν αἴτιον, ἐφεξῆς τὴν αὑτοῦ δόξαν προστίθησι λέγων· φαίνονται δὲ οἱ χυμοὶ ὅσοιπερ καὶ ἐν τοῖς περικαρπίοις οὗτοι ὑπάρχοντες καὶ ἐν τῇ γῇ. λαμβάνει δὲ διὰ τούτων τὰς τῶν χυμῶν ποιότητας πάσας καὶ ἐν τῇ γῇ εἶναι. δι' οὗ πιστοῦται τὸ μὴ μόνον τὸ ὕδωρ αὔταρκες πρὸς χυμῶν σύστασίν τε καὶ γένεσιν εἶναι, ἀλλὰ τῷ παρὰ τῆς γῆς τι λαμβάνειν γίνεσθαι τοιοῦτον. τούτου δὲ μαρτυρίοις χρῆται τῇ τε τῶν ἀρχαίων φυσιολόγων τῶν πλείστων δόξῃ, οἳ τοιοῦτόν φασι τὸ ὕδωρ εἶνα ι , δ ι ' οἵας ἂν γῆς πορεύητα ι , ὡς παρὰ τῆς γῆς τοῦ ὕδατος τὸν χυμὸν λαμβάνοντος, ἀλλὰ καὶ [ἐκ] τῇ ἐναργείᾳ. τά τε γὰρ ἁλμυρὰ τῶν ὑδάτων τῷ διὰ τῆς τοιαύτης γῆς διηθεῖσθαι τοιαῦτά ἐστιν (οἱ γὰρ ἅλες εἶδός τι τῆς γῆς εἰσι, δι' ὧν τὸ διηθούμενον ὕδωρ ἁλμυρὸν γίνεται), καὶ καθόλου ὁποία ἂν ἡ τῆς γῆς ποιότης ᾖ, τοιοῦτος καὶ ὁ χυμὸς τοῦ δι' αὐτῆς ῥέοντος γινόμενος ὁρᾶται, διὰ μὲν ἀσφαλτώδους ἀσφαλτώδης, διὰ δὲ πικρᾶς πικρός· τὰ γοῦν διὰ τῆς τέφρας διηθούμενα πικρὰ γίνεται.

in Sens.72 διὰ τοῦτο γὰρ καὶ πλεῖσται πηγῶν καὶ κρηνῶν εἰσι διαφοραί· αἱ μὲν γὰρ πικραὶ τῶν κρηνῶν εἰσιν, αἱ δὲ ὀξεῖαι παρὰ τὰς τῆς γῆς δι' ἧς ῥέουσι διαφοράς. ἱστόρηται δὲ τὰ τοιαῦτα Θεοφράστῳ ἐν τοῖς Περὶ ὕδατος. διὰ τοῦτο οὖν φησιν εὐλόγως καὶ τοὺς χυμοὺς ἐν τοῖς ἐκ τῆς γῆς φυομένοι

ς , τουτέστιν ἐν τοῖς φυτοῖς, καὶ ταύτῃ τρεφομένοις μετὰ ὑγρότητος ἐγγίνεσθαι μάλιστα. λαμβάνει γὰρ καὶ σπᾷ τὸ ἀπολαῦσαν τῆς γῆς ὕδωρ, ἐν ᾗ καὶ δι’ ἧς ῥέον αὐτὰ τὰ φυτὰ δέχεται αὐτό. οὐχ ὡς τῆς γῆς δὲ ἐγχύμου κατὰ τὴν αὑτῆς φύσιν οὔσης λέγοι ἄν (οὐδὲν γὰρ τῶν ἁπλῶν σωμάτων τῇ αὑτοῦ φύσει ἔγχυμον εἶναι δοκεῖ), ἀλλ’ ὡς πρώτης αὐτῆς κατὰ τὴν [ὡς] πρός τινα ὑγρότητα ὑπὸ θερμότητος μῖξιν πασχούσης τε καὶ δεχομένης ταῦτα. οὐ γὰρ τοῦτο λέγει, ὅτι παρὰ τῆς γῆς ἐχούσης ἤδη τοὺς χυμοὺς πάντας ἐνεργείᾳ τὸ ὕδωρ λαμβάνει· οὐκέτι γὰρ ἂν ἦν ὁ λόγος αὐτῷ καθόλου περὶ γενέσεως χυμῶν, ἀλλὰ περὶ τῶν ἐν τῷ ὕδατι. τοῦ δὲ ἀπὸ τοῦ ξηροῦ τοῦ ἐν τῇ γῇ τὴν γένεσιν τῶν χυμῶν ἐν τῷ ὑγρῷ γίνεσθαι μαρτύριον παρέθετο τὸ καὶ τῆς ἤδη ποιότητάς τινας ἢ χυμοὺς ἐχούσης γῆς ἀπολαύειν τὸ διηθούμενον ὕδωρ δι’ αὐτῆς, ὡς πεφυκὸς πάσχειν ὑπ’ αὐτῆς· ὑγρότης δ’ ἄν τις εἴη καὶ ἡ ἐν τῇ γῇ τὸν χυμὸν δεδεγμένη. Εἰπὼν δὲ τοῦτο, καὶ κατὰ τί εὔλογον πάσχειν τι τὸ ὕδωρ ὑπὸ γῆς λέγει. πάσχειν γὰρ πέφυκε τὸ ὑγρὸν ὑπὸ τοῦ αὐτῷ ἐναντίο υ , ὥσπερ καὶ τὰ ἄλλα ἐναντία ὑπὸ τῶν ἐναντίων αὐτοῖς. ἐναντίον δὲ τῷ ὑγρῷ τὸ ξηρόν · ἔστι δὲ ξηρὸν ἡ γῆ μάλιστα. ἔστι μὲν γὰρ καὶ τὸ πῦρ ξηρόν, διὸ καὶ ὑπὸ τούτου πάσχει τὸ ὑγρόν· ἀλλ’ ἔστι τὸ μὲν πῦρ μάλιστα εἰδοπεποιημένον κατὰ τὸ θερμόν, εἰ καὶ ὅτι μάλιστά ἐστι καὶ ξηρόν, ἡ δὲ γῆ κατὰ τὸ ξηρόν, εἰ καὶ ψυχρά ἐστιν. εἶπε δὲ καὶ ὑπὸ τοῦ πυρὸς πάσχειν αὐτό, οὐκ ἀργῶς· εἰς γὰρ τὴν τῶν χυμῶν τῶν γινομένων ἐν αὐτῷ γένεσιν καὶ τὸ θερμὸν συντελεῖ, οὐχ ἡ γῆ μόνη. εἰρῆσθαι δέ φησι ταῦτα ἐν τοῖς περὶ στοιχείω ν , λέγων τὰ Περὶ γενέσεως καὶ φθορᾶς ἐν ἐκείνοις γὰρ μάλιστα τὸν περὶ τῆς φύσεώς τε καὶ οὐσίας τῶν τεσσάρων σωμάτων, ἃ καὶ στοιχεῖα λέγεται, λόγον πεποίηται. ἐν οἷς εἴρηκε καὶ κατὰ τί μάλιστα εἰδοποιεῖται τῶν σωμάτων τῶν ἁπλῶν ἕκαστον, ὅτι γῆ μὲν μᾶλλον ὑπὸ τοῦ ξηροῦ ἢ τοῦ ψυχροῦ, ὕδωρ δὲ ὑπὸ τοῦ ψυχροῦ μᾶλλον ἢ ὑγροῦ, ἀὴρ δὲ ὑπὸ τοῦ ὑγροῦ μᾶλλον ἢ θερμοῦ, πῦρ δὲ ὑπὸ τοῦ θερμοῦ μᾶλλον ἢ ξηροῦ.

in Sens.73 Εἰπὼν δὲ τὰ ἐναντία ὑπὸ τῶν ἐναντίων πάσχειν, διὸ καὶ τὸ ὑγρὸν ὑπὸ τοῦ ξηροῦ καὶ ἔμπαλιν (τὸ γὰρ πλεονάζον ποιητικόν [εἶναι]), εἶναι δὲ καὶ τὸ πῦρ ξηρόν, μάλιστα δὲ τὴν γῆν, προστίθησι τούτοις ὅτι καθὸ τὸ μὲν πῦρ ἐστι τῶν στοιχείων, τὸ δὲ ὕδωρ, τὸ δὲ γῆ, τὸ δὲ ἀήρ, οὐδὲν οὔτε ποιεῖν οὔτε πάσχειν πεφύκασιν· οὐσία γὰρ αὐτά, οὐσίᾳ δὲ οὐσίᾳ οὐκ ἔστιν ἐναντία, ἐν δὲ τοῖς ἐναντίοις τὸ ποιεῖν τε καὶ πάσχειν. διὸ καὶ προσέθηκεν οὐ δ ’ ἄλλο οὐδέν · οὐδὲν γὰρ σῶμα, καθὸ σῶμα, ποιεῖ ἢ πάσχει, ὅτι μηδ’ ἐναντιότης ἐν αὐτοῖς· καθὸ δὲ ἐν ἑκάστῳ αὐτῶν ἐναντιότης ἐνυπάρχε ι , κατὰ τοῦτο ποιητικά ἐστιν ἀλλήλων καὶ παθητικά. ἐναντιότης δὲ ἐν τῷ ὕδατι πρὸς μὲν τὴν γῆν κατὰ τὴν ὑγρότητα (ξηρὰ γὰρ ἡ γῆ μάλιστα), πρὸς δὲ τὸ πῦρ κατ’ ἄμφω μέν (καὶ γὰρ κατὰ τὴν ξηρότητα καὶ θερμότητα, τὸ γὰρ ὕδωρ ὑγρὸν καὶ ψυχρὸν [ὂν]), μᾶλλον δὲ κατὰ τὴν ψυχρότητα, ἐπεὶ τούτῳ μὲν τὸ ψυχρὸν οἰκειότερον, τοῦ δὲ πυρὸς οἰκεῖον τὸ θερμὸν μάλιστα. Μάθοι δ’ ἄν τις ἐκ τούτων τὴν Ἀριστοτέλους δόξαν περὶ τῶν ποιούντων τε καὶ πασχόντων. οὔτε γὰρ τὰ σώματα αὐτῷ δοκεῖ ποιεῖν τε καὶ πάσχειν, ὡς ἀρέσκει τοῖς ἀπὸ Στοᾶς, οὔτε πάλιν τὰ ἀσώματα, ὡς ἐδόκει τοῖς περὶ Πλάτωνα, ἀλλὰ κατὰ τὰς ἐν αὐτοῖς ἐναντιώσεις οὔσας ἀσωμάτους. πῶς οὖν, εἰ τῷ μὲν ὕδατι τὸ εἶναι ὕδατι ἐν ὑγρότητι καὶ ψυχρότητι, τῷ δὲ πυρὶ ἐν θερμότητι καὶ ξηρότητι, οὐκ ἐναντίον τὸ ὕδωρ τῷ πυρὶ καὶ καθὸ ὕδωρ καὶ πῦρ; ἢ εἰ καὶ ὅτι μάλιστα κατὰ ταῦτα εἰδοποιεῖται ἑκάτερον αὐτῶν, ἀλλ’ οὐ ταὐτά ἐστι τὸ πῦρ καὶ τὸ ὕδωρ· οὐ γάρ ἐστιν εἴδη μόνον, ἀλλ’ ἔστι καὶ ὑποκείμενόν τι αὐτοῖς ἔχον ταύτας τὰς ποιότητας, σὺν ᾧ τὸ μὲν ὕδωρ ἐστί, τὸ δὲ πῦρ. ἡ γοῦν ῥοπὴ αὐτοῖς οὐκ ἔστι πρώτως ἐναντία· οὐ γὰρ ὥσπερ τὸ πῦρ κουφότατον, οὕτως καὶ τὸ ὕδωρ βαρύτατον· ἀλλὰ καὶ μεθ’ ὕλης τὸ εἶναι αὐτοῖς, ἥτις ἐστὶν ἡ αὐτὴ ἐν πᾶσιν αὐτοῖς. Εἰπὼν δὲ ὅτι εὔλογον πάσχειν τὸ ὑγρὸν ὑπὸ τοῦ ξηροῦ (ἦν δὲ τὸ μὲν ἐν τῷ ὕδατι, τὸ δὲ ἐν τῇ γῇ), πῶς ὑπὸ τοῦ ἐν τῇ γῇ ξηροῦ πάσχει τὸ ἐν τῷ ὕδατι ὑγρὸν ἐν τῇ τῶν χυμῶν γενέσει λέγει.

in Sens.74

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς γὰρ οἱ ἐναποπλύνοντες ἐν τῷ ὑγρῷ τὰ κεχρωσμένα χρωματίζουσι καὶ τὸ ὕδωρ τῷ τοῦ ἐναποπλυνομένου χρώματι, ὁμοίως δὲ καὶ οἱ τὰ τοὺς χυμοὺς ἔχοντα (ἀπολαύει γὰρ τὸ ὕδωρ τῶν χυμῶν τῶν ἐν τοῖς ἀποπλυνομένοις ἐν αὐτῷ), οὕτω φησὶ καὶ ὑπὸ τῆς φύσεως γίνεσθαι· τὸ γὰρ ξηρὸν καὶ γεῶδες ἐναποπλύνουσαν τῷ ὑγρῷ καὶ διὰ τούτου διηθοῦσαν αὐτὴν τὸ ὑγρόν, χρωμένην τῷ θερμῷ καὶ διὰ τούτου κινοῦσαν αὐτὸ γεννᾶν ἐν αὐτῷ τὸν χυμόν. τῷ δὲ οὕτω καὶ ἡ φύσις τὸ ξηρὸν καὶ γεῶδες λείποι ἂν τὸ ‘ἐναποπλύνει τῷ ὑγρῷ.‘ τοῦ δὲ καὶ διὰ τοῦ ξηροῦ καὶ γεώδους διηθοῦσα ἐξηγητικὸν ἂν εἴη τὸ ‘ἐναποπλύνουσα καὶ χρωμένη ἐν τῇ διηθήσει τῷ θερμῷ καὶ κινοῦσα αὐτό, τουτέστιν ἀλλοιοῦσα αὐτὸ καὶ συνιστῶσα καὶ πέσσουσα, ποιὸν παρασκευάζει· ἔγχυμον γάρ.‘ ἀνατίθησι δὴ τὴν γένεσιν τῶν χυμῶν τῇ διηθήσει τοῦ ὑγροῦ ἐν τῷ ξηρῷ τῷ ἐν τῇ γῇ ὄντι κινοῦντος αὐτὸ καὶ μεταβάλλοντος καὶ συνιστῶντος τοῦ θερμοῦ. ἐν γὰρ τῇ δι’ ἐκείνου διηθήσει καὶ τῇ ὑπὸ τοῦ θερμοῦ γινομένῃ ἐν αὐτῷ πέψει τε καὶ συστάσει ἡ γένεσις τοῦ χυμοῦ, οὐ τῆς γῆς ἐχούσης τὸν χυμὸν ἐν αὑτῇ, ὡς ἐδόκει πρὸ ὀλίγου λέγειν βουλόμενος συστῆσαι τὸ ἀπολαύειν τινὸς τὸ ἐν τῷ ὕδατι ὑγρὸν ἀπὸ τῆς ἐν τῇ γῇ ξηρότητος διηθούμενον δι’ αὐτῆς. εἰ γὰρ ἦν ἡ γῆ ἔχουσα ἐνεργείᾳ τοὺς χυμοὺς καὶ παρ’ αὐτῆς τὸ ὕδωρ ἀπεμάττετο, οὐκ ἔδει αὐτοὺς παρὰ τὴν τῶν δεχομένων τὸ τοιοῦτον ὕδωρ διαφορὰν φυτῶν ἀλλάσσεσθαι, ἀλλ’ αὐτοὺς ποιεῖν ἐν αὑτοῖς τοὺς ὁμοίους χυμοὺς τὸ ὅμοιον. τοῦτο γὰρ ᾐτιάσατο καὶ τῶν πανσπερμίαν τὸ ὕδωρ λεγόντων εἶναι τῶν χυμῶν καὶ οὕτως ὕλην. εἰ δὲ ἡ γένεσις τῶν χυμῶν ἐν τῇ διηθήσει τοῦ γεώδους ξηροῦ τοῦ ἐν τῇ γῇ ἐν ὕδατι διὰ τὴν ὑπὸ θερμότητος κίνησιν, καὶ εἶεν ἂν καὶ οἱ ἐν τῇ γῇ χυμοὶ τοῦτον ἐγγινόμενοι τὸν τρόπον ἐγκαταμίξει τινὸς ὑδατώδους ὑγροῦ καὶ θερμότητος ποιᾶς· ἔχει δὲ ἡ γῆ ἐν αὑτῇ καὶ θερμότητα καὶ ὑγρότητα ἐγκαταμεμιγμένας. Εἰπὼν δὲ πῶς γίνεται ὁ χυμός, ὁρίζεται αὐτόν.

in Sens.75 λέγει γὰρ χυμὸν εἶναι τὸ ὑπὸ τοῦ ἐν τῇ γῇ ξηροῦ γινόμενον πάθος ἐν τῷ ὑγρῷ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργεια ν , διὰ μὲν οὖν τοῦ τὸ πάθος λαβεῖν καὶ τὸ θερμὸν συμπαραλαβὼν δι’ οὗ τὸ ἐγγινόμενον πάθος ὑπὸ τοῦ ξηροῦ ἐν τῷ ὑγρῷ· τὸ δὲ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργειαν σημαίνει μὲν αὐτὸ τὸ κινοῦν οὕτω τὴν γεῦσιν καὶ ἀλλοιοῦν, ὡς ἄγειν αὐτὴν ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ· ποιητικὸν γὰρ ὁ χυμὸς τῆς κατ’ ἐνέργειαν γεύσεως. Ὅτι δὲ προϋπαρχούσης τῆς αἰσθητικῆς δυνάμεως ὁ χυμὸς εἰς ἐνέργειαν κινητικὸς γίνεται, ἀλλ’ οὐκ αὐτὸς τῆς δυνάμεως τῆς γευστικῆς αἴτιος, δηλοῖ δι’ ὧν προστίθησι λέγων· οὐ γὰρ κατὰ τὸ μανθάνει ν , ἀλλὰ κατὰ τὸ θεωρεῖν ἐστι τὸ αἰσθάνεσθα ι . ὃ ἴσον ἐστὶ τῷ ‘οὐ γὰρ ἐγγίνεται ἡ αἰσθητικὴ δύναμις ἐν τῷ αἰσθάνεσθαι, ὡς ἡ ἐπιστήμη ἐν τοῖς μανθάνουσιν, ἀλλὰ προϋπάρχουσα καὶ οὖσα δυνάμει ἐνεργεῖ, ὡς ὁ ἔχων πρότερον τὴν ἐπιστήμην, ἔπειτα ἐνεργῶν κατὰ ταύτην.‘ τίς δὲ ἡ δυνάμει αἴσθησις καὶ τίς ἡ κατ’ ἐνέργειαν εἴρηκεν ἐν τοῖς Περὶ ψυχῆς. τὸ δὲ ἄγει γὰρ τὸ αἰσθητικὸν εἰς τοῦτο δυνάμει προυπάρχον ἴσον ἐστὶ τῷ ‘ἄγεται γὰρ τὸ αἰσθητικὸν ὑπὸ τοῦ αἰσθητοῦ εἰς ἐνέργειαν, ὂν τοιοῦτον δυνάμει πρὸ τούτου‘. ᾧ προσέθηκε καὶ τὰ ἑξῆς δηλωτικὰ ὄντα τοῦ εἰς ποίαν ἐνέργειαν ἄγεται καὶ ἐκ ποίας δυνάμεως. ἐπεὶ δὲ μὴ μόνον τὸ κατὰ τὸν χυμὸν πάθος ἐν τῷ ὑγρῷ ὑπὸ τοῦ ξηροῦ ἐγγίνεται (κἂν γὰρ χρῶμα ἐναποπλυθῇ, ὁμοίως καὶ τὸ ὕδωρ χρώννυται), ἀλλὰ καὶ ὀσμαὶ ὁμοίως ἐν αὐτῷ γίνονται, διὰ τοῦτο εὐλόγως προσέθηκε τὸ ἴδιον τοῦ ὡς χυμοῦ *** πάθος ἐστὶ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργεια ν . Ὅτι δὲ ἡ ξηρότης ἡ ἐν τῇ γῇ τῆς τῶν χυμῶν γενέσεως αἰτία, δῆλον καὶ ἐκ τῆς τῶν ἑψομένων ὑδάτων διαφορᾶς, ἣ γίνεται παρὰ τὴν ἐγκατάμιξιν τῆς γεώδους ξηρότητος· τῶν γοῦν ὀμβρίων ὑδάτων τὸ μὲν τοῦ χειμῶνος γλυκύτατον, τὸ δὲ τοῦ θέρους ἧττον, ἥκιστα δὲ τὸ μετοπώρου.

in Sens.76 πάλιν δ’ αὖ βορείοις μὲν ποτιμώτερον τὸ ὑόμενον, νοτίοις δὲ ἁλυκώτερον, καὶ ταῖς μὲν ἐπομβρίαις γλυκύ, τοῖς δὲ αὐχμοῖς ἁλυκόν· χειμῶνος μὲν γὰρ ὑγρῶν τῶν περὶ τὴν γῆν ὄντων ἄμικτοι αἱ ἀναθυμιάσεις ἀνάγονται τῆς γεώδους ξηρότητος, θέρους δὲ ἧττον ὄντων ὑγρῶν τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ τὴν γῆν συναναφέρεταί τι τῇ ἀναθυμιάσει συνεπισπώμενον τοῦ γεώδους· ἔτι δὲ μᾶλλον τοῦ μετοπώρου πλέον ἀνασπᾶται τοῦ γεώδους διὰ τὸ μάλιστα τότε πάντα ἀνεξηράνθαι ὑπὸ τοῦ ἐν τῷ θέρει καύματος. πάλιν τοῖς μὲν βορείοις ἅτε πνέουσιν ἀπὸ τῶν ἐνύγρων πολὺ τὸ πότιμον, νοτίοις δὲ διὰ τὸ ἀπὸ ξηρῶν καὶ κατακεκαυμένων πολὺ τὸ γεῶδες. οὕτω δὲ καὶ ἐν τοῖς αὐχμοῖς· καὶ γὰρ ἐν τούτοις ἀνάγεται τὸ γεῶδες καὶ ἁλυκὸν πολύ, ἐναντίον δὲ ἐν ταῖς ἐπομβρίαις. οὕτως οὖν εὔλογον καὶ τοὺς χυμοὺς ἅπαντας γίνεσθαι τῇ τε ἐγκαταμίξει τῆς γεώδους ξηρότητος καὶ τῇ ὑπὸ τοῦ θερμοῦ γινομένῃ πέψει αὐτῶν [ἡγεῖται] διὰ τῆς συμμέτρου θερμότητος. φθείρονται γοῦν οἱ χυμοὶ πολλάκις, ὅταν ὑπὸ τοῦ ψύχους αἱ πέψεις αὐτῶν ἀναλυθῶσι καὶ ἐξυγρανθῶσιν, ὥσπερ διακρινομένης τῆς ἐγκαταμεμιγμένης τῷ ὑγρῷ ξηρότητος. μετὰ γὰρ τὴν ὑπὸ τοῦ ψύχους γινομένην πῆξιν ἐν αὐτοῖς λυόμενα ἐξυγραίνεταί τε καὶ ἐξαεροῦται· ἐνυπάρχει γὰρ τὸ ὑγρὸν ἐν τοῖς χυμοῖς. οὐ γὰρ ἐκκρίσει τινὶ τοῦ ὑγροῦ ἀπὸ τοῦ ξηροῦ ὑπὸ τοῦ θερμοῦ γινομένῃ οἱ χυμοί, ἀλλὰ πέψει καὶ συστροφῇ· ὅτι γὰρ ἐνυπάρχει τὸ ὑγρὸν ἐν τοῖς πεττομένοις, δῆλον ἐκ τοῦ λυθείσης τῆς πέψεως ἀνυγραίνεσθαι αὐτά. πολλοὶ δὲ τῶν καρπῶν τὴν ἀρχὴν ἐν τοῖς ψυχροῖς τόποις οὔτε πεπαίνονται οὔτε τὸν ἴδιον χυμὸν λαμβάνουσιν, ὡς τοῦ θερμοῦ ποιητικοῦ· γινομένου τῆς πέψεως αὐτῶν καὶ τῶν ἐν αὐτοῖς χυμῶν. p. 441b23 Ὅτι δὲ οὐ παντὸς ξηροῦ ἀλλὰ τροφίμου οἱ χυμοὶ ἢ πάθος εἰσὶν ἢ στέρησι ς , δεῖ λαβεῖν ἐντεῦθε ν . Εἰπὼν τὸν χυμὸν εἶναι τὸ ὑπὸ τοῦ ξηροῦ τοῦ ἐν τῇ γῇ ἐν τῷ ὕδατι γινόμενον πάθος διὰ θερμότητος τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργειαν, ὅτι εὐλόγως προσέθηκε τῷ λόγῳ τὸ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργειαν νῦν δείκνυσιν.

in Sens.77 οὐ γὰρ πᾶν πάθος ἐν τῷ ὑγρῷ ὑπὸ τοῦ ξηροῦ γινόμενον χυμός· καὶ γὰρ ἡ ὀσμὴ ὑπὸ ξηρότητος ἐν ὑγρῷ γίνεται, ὡς προϊὼν δείξει, ἀλλ᾽ οὐ χυμὸς τοῦτο. ἔτι δὲ καὶ ἁπτὴ ἡ τροφή, ἀλλ᾽ οὐ, καθὸ ἁπτή, τρέφει, ἀλλὰ κατὰ τὸ πάθος τὸ γευστόν. ὃ δηλῶσαι βουληθεὶς εἶπεν ἀλλὰ τοῦ τροφίμο υ , τῷ τροφίμῳ ἀντὶ τοῦ γευστοῦ χρησάμενος. Εἰπὼν δὲ τοῦ τροφίμου πάθος εἶναι τοὺς χυμοὺς προσέθηκεν ἢ στέρησι ς , λέγων τοῦ τροφίμου στέρησιν, τουτέστι τοῦ γλυκέος· τοῦτο γὰρ τὸ τρόφιμον, ὡς δείξει. δοκεῖ γὰρ αὐτῷ ὁ μὲν γλυκὺς χυμὸς τρόφιμος εἶναι, στέρησις δὲ τούτου ὁ πικρός τε καὶ ἁλμυρός, γευστοὶ δὲ ἀμφότεροι· ὡς γὰρ ἐπὶ τῶν χρωμάτων τὸ ἐναντίον τῷ μάλιστα ὁρατῷ (τοῦτο δέ ἐστι τὸ λευκόν), ὅπερ ἐστὶ τὸ μέλαν ὁρατὸν ὂν καὶ αὐτό, οὕτως καὶ ἐπὶ τῶν χυμῶν τὸ ἐναντίον τῷ μάλιστα γευστῷ (μάλιστα δὲ γευστὸν τὸ τροφιμώτατον, τοιοῦτον δὲ τὸ γλυκύ) στέρησις τούτου. καὶ γὰρ καθόλου τῶν ἐναντίων δοκεῖ αὐτῷ τὸ ἐν τῇ χείρονι συστοιχίᾳ στέρησις εἶναι. ἐπεὶ τοίνυν καὶ τὸ γλυκὺ καὶ τὸ τούτῳ ἐναντίον, τὸ πικρόν, γευστά τε καὶ χυμοὶ καὶ ἐκ τῆς τούτων ποιᾶς μίξεως πάντες οἱ ἄλλοι χυμοί, ὥσπερ τὰ χρώματα ἔκ τε τοῦ λευκοῦ καὶ τοῦ μέλανος, τὸ γευστὸν καθόλου ἐδήλωσε τὰ ἐν τοῖς χυμοῖς ἐναντία εἰπών, ἐξ ὧν οἱ πάντες χυμοί· ταῦτα δέ ἐστι τὸ γλυκὺ καὶ τὸ πικρόν. ὡς ἐπεὶ τὸ γλυκὺ τρόφιμον, τοῦ τροφίμου ξηροῦ πάθος εἶπεν ἐν τῷ ὑγρῷ τὸν χυμὸν ἢ τῆς τούτου στερήσεως ἀντὶ τοῦ πικροῦ· τούτου γὰρ ἐναντίον, ἐναντίον δὲ τῷ γλυκεῖ καὶ ἡ στέρησις αὐτοῦ. ὅτι μὲν γὰρ οὔτε τὸ ξηρὸν αὐτὸ καθ᾽ αὑτὸ οὔτε τὸ ὑγρὸν τρέφει, ὡς γνώριμον λαμβάνει· ἐν γὰρ τῇ τούτων μίξει ποιᾷ ἡ τροφή. λείπει δὲ τῷ ὅτι οὔτε τὸ ξηρὸν ἄνευ τοῦ ὑγροῦ οὔτε τὸ ὑγρὸν ἄνευ τοῦ ξηροῦ τὸ ‘χυμὸς καὶ τροφή‘· τούτῳ γὰρ ἀκολουθεῖ τὸ τροφὴ γὰρ οὐχ ἓν μόνο ν . Ὅτι δὲ μὴ πᾶν πάθος τὸ γινόμενον ἐκ τῆς τῶν τοιούτων μίξεως χυμός ἐστιν, ἑξῆς δείκνυσιν· ἡ γὰρ προσφερομένη τροφὴ τοῖς ζῴοις καὶ ἁπτή ἐστι.

in Sens.78 διὰ τοῦτο γοῦν καὶ τὴν γεῦσιν εἶδός τι ἁφῆς λέγει εἶναι, ὅτι καὶ τῶν ἁπτῶν ἐναντιοτήτων ἐστὶν ἀντιληπτική. ἀλλ᾽ οὐκ ἔστιν ἡ τροφὴ τροφή, καθὸ ἁπτή ἐστιν. οὐ γάρ, καθὸ θερμὴ ἢ ψυχρὰ ἢ μαλακὴ ἤ τινα ἄλλην ἁπτὴν ἐναντίωσιν ἔχει, τρέφει· ἀλλὰ καθόσον μὲν ἁπτή ἐστι, κατὰ τοσοῦτον αὐξήσεώς ἐστι τοῖς τρεφομένοις καὶ φθίσεως αἰτία. καθὸ γὰρ θερμὸν ἢ ψυχρόν ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ τρέφον, ἢ προσκρίνεται ἢ ἀποκρίνεται· τὸ γὰρ θερμὸν καὶ τὸ ψυχρὸν πέψεως καὶ ἀπεψίας αἴτιον, ὧν ἡ μὲν πέψις προσκρίσεώς τε καὶ αὐξήσεως αἰτία, ἡ δὲ ἀπεψία φθίσεώς τε καὶ ἀτροφίας. συνεργεῖ δὲ πρὸς τὴν σύμφυτον ἐν τοῖς ζῴοις θερμότητα, δι' ἧς αἱ πέψεις, τῇ θρεπτικῇ ψυχῇ (τούτῳ γὰρ ὀργάνῳ πρὸς τὴν πέψιν ἡ δύναμις αὕτη χρῆται) καὶ ἡ τῶν προσφερομένων θερμότης τε καὶ ψυχρότης. ὥστε κατὰ μὲν τὸ πάθος τοῦτο τὸ ἁπτὸν γινόμενον καὶ αὐτὸ ὑπὸ τοῦ ξηροῦ ἐν τῷ ὑγρῷ (ἐκ τούτων γὰρ ἡ τροφὴ οὖσα καὶ ἁπτή ἐστιν) οὔκ εἰσιν οἱ χυμοί. δύναται γὰρ ἡ τροφή, καθόσον ἁπτή ἐστιν, αὐξήσεως εἰρῆσθαι αἰτία, ὅτι τὸ σῶμα ἁπτόν· ἡ γὰρ ἀντιτυπία ἁπτόν, ἐν ᾗ τῷ σώματι τὸ εἶναι· ἀλλὰ καὶ ἀφ' ὧν εἰδοποιεῖται τὰ πρῶτα σώματα, ἐν οἷς αὐτοῖς τὸ εἶναι, ἁπτὰ καὶ ταῦτα. κατὰ δὲ σώματος προσθήκην τε καὶ ἀπουσίαν αἱ αὐξήσεις τε καὶ αἱ μειώσεις. ὥστε ἡ τροφή, καθὸ μὲν σῶμα, αὔξει, ὡς ἐν τοῖς Περὶ γενέσεως εἶπε (καθὸ γὰρ σῶμά ἐστι, ποσόν ἐστι), καθόσον δὲ γλυκεῖα, τρέφει, καὶ κατὰ τοῦτο δὲ καὶ κινητικὴ τῆς κατὰ δύναμιν γεύσεως εἰς ἐνέργειαν. p. 441b29 Τούτων μὲν γὰρ αἴτιον ἢ θερμὸν ἢ ψυχρό ν . Τούτω ν , λέγει αὐξήσεως καὶ φθίσεως, αἰτίαν τὴν τροφὴν εἶναι, κἂν θερμή ἐστι κἂν ψυχρὰ καὶ ὅλως ἁπτή. ταῦτα γά ρ , φησ ί , ποιεῖ καὶ αὔξησιν καὶ φθίσι ν , ἤτοι λέγων τὰ ἁπτὰ ἁπλῶς ἢ τῶν ἁπτῶν τὸ θερμὸν καὶ τὸ ψυχρόν. καθ' ὃ πάθος ἄρα ἐγγινόμενον τῷ ὑγρῷ ὑπὸ τοῦ ξηροῦ τό τε γεύεσθαι τοῖς ζῴοις καὶ τὸ τρέφεσθαι, κατ' αὐτὸ τοῦτο ὁ χυμός.

in Sens.79 κατὰ τί οὖν τρέφει; καθὸ γευστόν ἐστι δηλονότι, ἀλλ' οὐ καθὸ ἁπτόν. Ἁπλῶς οὖν δεικτικὸν παρέθετο 〈τούτου〉 τὸ πᾶν τὸ τρεφόμενον ἢ γλυκεῖ χυμῷ ἁπλῶς ἢ μεμιγμένῳ τρέφεσθαι, ἅ ἐστι γευστά, ἀλλ' οὐχ ἁπτά, ὡς ἄνευ γλυκέος μὴ δυναμένης τροφῆς εἶναι. ἡ δὲ μικτὴ εἴη ἂν ἔκ τε τῆς γλυκείας καὶ τῆς ἐναντίας ταύτῃ τῆς πικρᾶς, 〈ὥσπερ αἱ λιπαρότητεσ〉 · τῷ γάρ, ὡς προϊὼν ἐρεῖ, τὸ γλυκὺ καὶ τρόφιμον ἐπιπολαστικὸν εἶναι, τούτῳ καὶ μίξεώς τινος ὁ τοιοῦτος χυμὸς πρὸς τὸ τρέφειν δεῖται. ἐπιπολαστικὸν δὲ τὸ γλυκὺ τῷ κοῦφόν τε εἶναι καὶ ἄνω φέρεσθαι· διὰ τοῦτο γὰρ καὶ τρόφιμον. Εἶναι μὲν οὖν φησι τὸν περὶ τοῦ τίσι καὶ πῶς τρεφόμεθά τε καὶ αὐξόμεθα τοῖς περὶ γενέσεως λόγοις οἰκεῖον. εἴρηκε δὲ περὶ μὲν αὐξήσεως ἰδίως ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς, περὶ δὲ τροφῆς ἐν τοῖς Περὶ ζῴων γενέσεως. διὸ τὸν μὲν ἀκριβῆ περὶ αὐτῶν λόγον εἰς ἐκείνας ἀνατίθεται ὡς οἰκειοτέρας τὰς πραγματείας, νῦν δὲ ὅσον ἀναγκαῖον πρὸς τὴν τοῦ προκειμένου δεῖξιν ἐπιμνησθῆναί φησι δεῖν αὐτῶν. λέγει δὲ τὸ θερμὸν τῆς τε αὐξήσεως τοῖς σώμασιν αἴτιον διὰ τῆς πέψεως τῆς τροφῆς γίνεσθαι καὶ τῆς δημιουργίας τε καὶ γενέσεως τῆς τροφῆς· ποιητικὸν γὰρ αὐτῆς τοῦτο τῷ φύσιν ἔχειν ἀπὸ τοῦ ὑγροῦ τοῦ χυμὸν ἔχοντος ἤδη τὸ κοῦφον μὲν καὶ γλυκὺ ἕλκει ν , τὸ δ ' ἁλμυρὸν καὶ πικρὸν καταλείπειν διὰ τὸ βάρος · τὸ γὰρ κουφότερον αὐτῷ συναναφέρει κινούμενον εἰς τὸν ἄνω 〈τόπον〉 κατὰ φύσιν, τὸ δὲ βαρὺ καταλείπει. Τοῦτο δὲ ὡς γνώριμον ἀπὸ τῶν ἀναθυμιάσεων λαμβάνει· οὕτω γὰρ αἱ ἀναθυμιάσεις γίνονται.

in Sens.80 τοῦτο δὴ οὖν ὃ ἐν τοῖς ἔξω σώμασι τὸ θερμὸν ὁρᾶται ποιοῦν, ποιεῖν φησιν αὐτὸ καὶ ἐν τῇ φύσει τῶν ζῴων τε καὶ φυτῶν, ἕλκειν μὲν τὸ ἔνδον θερμὸν ἀπὸ τῆς τροφῆς τῆς ἐνεθείσης τὸ κοῦφον καὶ γλυκὺ καὶ προσκρίνειν, καταλείπειν δὲ τὸ βαρὺ τῷ εἶναι πικρόν τε καὶ ἁλμυρόν, ὅ ἐστι τὸ περίττωμα. εἰ γὰρ ταῦτα βαρέα ὄντα καὶ πικρὰ ὑπομένει, δῆλον ὡς τὸ κοῦφον καὶ ἐναντίον τούτοις γλυκύ. καὶ εἴη ἂν αἰτία τις καὶ αὕτη τοῦ τοῖς γλυκέσι τρέφεσθαι τὰ τρεφόμενα. ὅτι δὲ γλυκὺ τὸ ἀναφερόμενόν τε καὶ τρέφον ὑπὸ τοῦ θερμοῦ καὶ οὐχ ἁπλῶς κοῦφον, ἀλλ' ἔστι τὸ κοῦφον καὶ γλυκύ, δῆλον καὶ αὐτὸ ἐκ τῶν ἀναθυμιάσεων· πᾶν γὰρ τὸ ὄμβριον γλυκύ, καίτοι τοῦ πλείστου ἀπὸ τῆς θαλάσσης ἀτμιζομένου οὔσης ἁλμυρᾶς· εἴρηται δὲ περὶ τούτων ἐν τοῖς Μετεωρολογικοῖς. Προηγουμένως μὲν οὖν ὁ γλυκὺς χυμὸς τρόφιμος· οἱ δὲ ἄλλοι χυμοὶ ἀναμίγνυνται εἰς τὴν τροφήν, ἣν ἔξωθεν προσφερόμεθα, ἀντὶ τοῦ ἡδύσματος, φησίν, οὐχ ὡς τρόφιμοι καθ' ἑαυτούς, ὥσπερ τὸ ἁλμυρὸν καὶ τὸ ὀξύ· ὡς γὰρ τούτους τοὺς χυμοὺς ἡδύσματος χάριν τοῖς γλυκέσι παραμεμιγμένους ὁρῶμεν παραμυθουμένους τὴν καθ' ἑκάστην γεῦσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπερβολὴν τῆς γλυκύτητος, οὕτως καὶ τοὺς ἄλλους χυμοὺς τῆς χρείας χάριν ταύτης τοῖς γλυκέσιν ἀναμίγνυσθαι ἀντισπῶντας τὸ τοῦ γλυκέος ἐπιπολαστικόν, ἀλλ' οὐχ ὡς τροφίμους καθ' αὑτούς. ἀφ' ὧν δῆλον ὅτι τὸ ἔνδον θερμὸν τοῖς γλυκέσι τρέφει καθ' ὃν καὶ προείρηκε τρόπον. p. 442a12 Ὥσπερ δὲ τὰ χρώματα ἐκ λευκοῦ τε καὶ μέλανος μίξεώς ἐστι ν . Εἰπὼν τρόφιμον μὲν εἶναι χυμὸν τὸν γλυκύν, ἐναντίον δὲ καὶ κατὰ στέρησιν τούτου τὸν πικρόν, δείκνυσιν ὅτι πάντες οἱ χυμοὶ ἐκ τῆς τούτων τῶν ἐναντίων ποιᾶς μίξεως, ὥσπερ καὶ τὰ χρώματα ἐκ λευκοῦ τε καὶ μέλανος, καὶ κατὰ τὴν ἀναλογίαν τῆς μίξεως τῶν ἐναντίων χυμῶν πρὸς ἀλλήλους γίνεσθαι τὴν τῶν μεταξὺ διαφοράν, ὡς ἐπὶ τῶν χρωμάτων, εἴτε πάντων τῶν χυμῶν κατ' ἀριθμούς τινας ὡρισμένους καὶ ἀναλογίας ἐκ τῆς τῶν ἐναντίων μίξεως γινομένων, εἴτε τῶν μὲν τὴν ἡδονὴν ποιούντων οὕτως, τῶν δ' ἄλλων ὡς ἔτυχεν.

in Sens.81 Ἑξῆς δὲ καὶ τὰ εἴδη τῶν χυμῶν ἐκτίθεται καὶ λέγει τίνας αὐτῶν τοῖς ἄκροις τε καὶ ἐναντίοις συντάσσειν δεῖ, τίνας δὲ ἐκ τῆς μίξεως τῶν ἐναντίων γίνεσθαι λέγειν. τὸν μὲν οὖν λιπαρὸν χυμὸν τῷ γλυκεῖ φησι τὸν αὐτὸν εἶναι (τρόφιμος γὰρ οὗτος), τὸν δ' ἁλμυρὸν τῷ πικρῷ, τὸν δὲ δριμὺν καὶ αὐστηρὸν καὶ στρυφνὸν καὶ ὀξὺν ἐν μέσῳ εἶναι, γινομένους ἐκ τῆς ποιᾶς τῶν ἄκρων μίξεως. Εἰπὼν δὲ ὁμοίως γίνεσθαι τοὺς μεταξὺ χυμοὺς ἐκ τῆς τῶν ἐναντίων, τοῦ τε γλυκέος καὶ τοῦ πικροῦ, μίξεως, ὡς καὶ τὰ χρώματα τοῦ λευκοῦ καὶ τοῦ μέλανος μιγνυμένων, νῦν κατὰ τὸν ἀριθμὸν αὐτῶν τὴν ὁμοιότητα δείκνυσιν οὖσαν· ἑπτὰ γὰρ εἴδη εἶναι ἀμφοτέρω ν , τῶν μὲν χυμῶν ἃ κατηρίθμηκε· καὶ γὰρ τὸ ἁλμυρὸν ὡς εἶδός τι ἄλλο καὶ οὐ πάντη ταὐτὸν τῷ πικρῷ εἶναι. ὡς δὲ τὸ λιπαρὸν τῷ γλυκεῖ συνῆψεν, οὕτω φησὶ καὶ ἐν τοῖς χρώμασι δεῖν τὸ ξανθὸν ἐν τῷ λευκῷ καταριθμεῖν, τὸ δὲ φαιὸν ἐν τῷ μέλανί πως εἶναι, ὥσπερ ἦν καὶ ἐν τοῖς χυμοῖς τὸ ἁλμυρὸν ἐν τῷ πικρῷ. ὡς δ' ἐπ' ἐκείνων ἦν μέν πως τὸ ἁλμυρὸν ἐν τῷ πικρῷ, ἄλλο μὴν εἶδος, καὶ διὰ τοῦτο ἑπτὰ χυμῶν εἴδη, οὕτως καὶ ἐπὶ τῶν χρωμάτων ἔσεσθαι κατὰ τὸ φαιὸν εἶδός τι χρώματος· οὕτω γὰρ λέγοντος αὐτοῦ σώζοιτο ἂν τὸ τὰ εἴδη τῶν χρωμάτων ἑπτὰ εἶναι. τὸ γὰρ φοινικοῦν καὶ τὸ ἁλουργὲς καὶ τὸ πράσινον καὶ τὸ κυανοῦν, ἃ λέγει μεταξὺ τῶν τριῶν ἐκείνων, τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος καὶ τοῦ φαιοῦ, τὰ ἑπτὰ εἴδη ποιήσει τῶν χρωμάτων. εἰ μὲν οὖν φυλάσσοι τις τὸ μὲν ξανθὸν ἐν χρώμασι καὶ συνάπτοι τὸ φαιὸν καὶ τὸ μέλαν, ἐν δὲ τοῖς [πικροῖς] χυμοῖς τὸ *** πικρὸν καὶ τὸ ἁλμυρόν, ἑπτὰ εἴδη ἑκατέρου αὐτῶν ἔσται, ὡς εἰρήκει· ὡς, εἰ δή τις μήτε ταῦτα συντιθείη καὶ τὰ πρῶτα διαιροίη, ἴσα μὲν καὶ οὕτως ἔσται τά τε τῶν χυμῶν εἴδη καὶ τὰ τῶν χρωμάτων, οὐ μὴν ἑπτά, ἀλλ' ἢ ἓξ ἢ ὀκτώ.

in Sens.82 ἐπεὶ δὲ γίνεταί τινα χρώματα οὐ μόνον κατὰ τὴν τοῦ λευκοῦ τε καὶ μέλανος μῖξιν, ἀλλὰ καὶ τῶν μεταξὺ πάλιν μιγνυμένων ἀλλήλοις (διὸ καὶ ἄπειρά πως εἶναι δοκεῖ τὰ χρώματα), τὰ ἄλλα φησὶν ἐκ τῆς τούτων γίνεσθαι μίξεως, τῶν πρώτων χρωμάτων ὄντων ὅσων εἴρηκεν. Εἰπὼν δὲ τὴν μῖξιν ὁμοίως τῶν τε χρωμάτων καὶ τῶν χυμῶν γίνεσθαι, καὶ τὰ εἴδη ἴσα εἶναι αὐτῶν κατ' ἄλλην τινὰ ὁμοιότητα δείκνυσιν αὐτῶν (ὡς γὰρ τὸ μέλαν ἐναντίον 〈ὂν〉 τῷ λευκῷ στέρησις ἐν διαφανεῖ λευκο ῦ , οὕτως τὸ ἁλμυρὸν καὶ τὸ πικρὸν στέρησις τοῦ γλυκέος ἐν τῷ τροφίμῳ ὑγρ ῷ) , ἅμα διὰ τούτων ἐξηγούμενος ἡμῖν, πῶς εἶπε τὴν πρὸ ὀλίγου λέξιν τὴν "ὅτι δὲ οὐ παντὸς ξηροῦ, ἀλλὰ τροφίμου οἱ χυμοὶ ἢ πάθος εἰσὶν ἢ στέρησις"· τὴν γὰρ στέρησιν λέγει τοῦ γλυκέος, ὃ καὶ τρόφιμον δέδειχε, τὸ πικρόν τε καὶ ἁλμυρόν· ἐξ ὧν ἡ τῶν ἄλλων γένεσις ἁπάντων. ὃ μὴ νοήσαντες οἱ ὑπομνηματισάμενοι τὸ βιβλίον ἀλλοκότως τὴν λέξιν ταύτην ἐξηγήσαντο. σημεῖον δὲ τοῦ στέρησιν εἶναι τοῦ γλυκέος τὸ πικρὸν παρέθετο τὸ καὶ τὴν τέφραν τῶν κατακαιομένων πικρὰν εἶναι· τοιαύτη γὰρ γίνεται τῷ ὑπὸ τοῦ θερμοῦ τὸ γλυκὺ πᾶν καὶ πότιμον ἐξικμάζεσθαι. p. 442a29 Δημόκριτος δὲ καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων ὅσοι λέγουσι περὶ αἰσθήσεως ἀτοπώτατον ποιοῦσ ι . Δείξας ὅτι ἡ τροφή, καίτοι ἁπτὴ οὖσα, οὐ καθὸ ἁπτή ἐστι τροφή ἐστι, διὰ τούτων αἰτιᾶται τόν τε Δημόκριτον καὶ τῶν φυσιολόγων τοὺς πλείστους ὡς πάσας τὰς αἰσθήσεις ἁφὰς ποιοῦντας καὶ πάντα τὰ αἰσθητὰ ἁπτά τε καὶ δι' ἁφῆς γνωρίζεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγοντας. πῶς δὲ ἁφὰς ἐποίουν πάσας τὰς αἰσθήσεις, λέγει· τῷ γὰρ πάντα τὰ αἰσθητὰ ἁπτὰ ποιεῖν, τῶν δὲ ἁπτῶν ἁφὴν αἴσθησιν, ἁπάντων ἂν τῶν αἰσθητῶν ἁφὴ αἰσθάνοιτο καὶ γίνοιντο ἂν πᾶσαι αἱ αἰσθήσεις ἁφαί.

in Sens.83 ἁπτὰ δὲ ἐποίουν πάντα τὰ αἰσθητά, ὅτι τῇ ἀπορροίᾳ τῇ ἀπὸ τῶν αἰσθητῶν καὶ τῇ τούτων ἐμπτώσει εἰς τὰ αἰσθητήρια τὴν ἀντίληψιν ἔλεγον γίνεσθαι, τῶν αἰσθητηρίων κινουμένων ὑπ' αὐτῶν κατὰ τὰς τῶν ἐν αὐτοῖς σχημάτων τε καὶ μεγεθῶν καὶ λειοτήτων καὶ τραχυτήτων διαφοράς. ἔτι τὸ λευκὸν καὶ τὸ γλυκὺ καὶ τὸ εὐῶδες καὶ τῶν ἄλλων δὲ ἕκαστον αἰσθητῶν οὐδενὶ ἑτέρῳ φασὶν ἀλλήλων οἱ περὶ Δημόκριτον διαφέρειν ἢ τοῖς σχήμασι καὶ τοῖς μεγέθεσι καὶ ταῖς λειότησί τε καὶ τραχύτησι. ταῦτα γὰρ τοῖς αἰσθανομένοις τοιαῦτα φαίνεται, ὁποῖα φαίνεται, παρὰ τὸ τὴν ἁφὴν τὴν καθ' ἑκάστην αἴσθησιν ὑπ' αὐτῶν ἐμπιπτόντων οὕτω πάσχειν τε καὶ διατίθεσθαι. Εἰπὼν δὲ γίνεσθαι πάσας τὰς αἰσθήσεις ἁφὰς κατὰ τοὺς οὕτω λέγοντας, τοῦτο δ έ , φησίν, ὅτι ἀδύνατόν ἐστιν οὐ χαλεπὸν συνιδεῖ ν . λέγοι δ' ἂν τοῦτο, ὅτι, εἰ πᾶσαι ἁφαί, ἔδει τῶν ἁπτῶν αὐτὰς ἐναντιώσεων ἀντιλαμβάνεσθαι, ὧν ὁρῶμεν τοὺς ἁπτομένους τινῶν ἀντιλαμβανομένους· ἔστι δὲ ταῦτα σκληρὰ μαλακά, τραχέα λεῖα, θερμὰ ψυχρά, ὑγρὰ ξηρὰ καὶ τὰ ὅσα ἁπτά· νῦν δὲ τούτων ἄν τις ἁψάμενος αἴσθηται, οὐδενὸς ἀντιλαμβάνεται ὀξώδους καὶ γλυκέος καὶ πικροῦ καὶ λευκοῦ καὶ μέλανος. ἔτι δὲ εἰ ἁφὴ ἡ ὄψις ἦν, ἔδει αὐτὴν ἐπιτιθεμένων αὐτῇ τῶν ὁρατῶν ἀντιλαμβάνεσθαι, ὁμοίως καὶ τὴν ὄσφρησιν ὀσφραίνεσθαι καὶ τὴν ἀκοὴν ἀκούειν· νῦν δὲ ἂν μὴ ἐξ ἀποστήματος καὶ διὰ μέσου τινός, οὐκ αἰσθάνονται. ἔτι εἰ πᾶν αἰσθητὸν τῇ ἁφῇ προσπίπτοι, τοῦτο οὐκ ἔδει πικρόν, ἂν οὕτω τύχῃ, τῇ γεύσει δοκεῖν ἢ μέλαν τῇ ὄψει ἢ δυσῶδες τῇ ὀσφρήσει, ἀλλὰ καὶ ταύταις λεῖον ἢ πάντως γε τοιοῦτον ὃ κατάλληλον ἂν τῷ λείῳ εἴη, καὶ πᾶν τὸ λεῖον ἀεὶ ἢ πικρὸν ἢ γλυκὺ ὁμοίως εἶναι, ἀλλ' οὐ τῶν λείων τὸ μὲν πικρὸν τὸ δὲ γλυκὺ ἢ τὸ μὲν λευκὸν τὸ δὲ μέλαν· ἐκ γὰρ τῆς διαφορᾶς τῆς τοιαύτης δῆλον ὡς ἄλλων τινῶν φύσεων περὶ τὰ ὑποκείμενα αἱ αἰσθήσεις αὗται ἀντιληπτικαὶ καὶ οὐ τῶν αὐτῶν.

in Sens.84 ἔτι τε εἰ πᾶσαι ἁφαί, τί πλειόνων αἰσθήσεων ἔδει; ἐξήρκει γὰρ καὶ μίαν εἶναι. p. 442b4 Ἔτι δὲ τοῖς κοινοῖς τῶν αἰσθήσεων πασῶν χρῶνται ὡς ἰδίοις · μέγεθος γὰρ καὶ σχῆμα καὶ τὸ τραχὺ καὶ τὸ λεῖο ν . Καὶ τοῦτό φησιν ἁμαρτάνειν ἐν τῷ περὶ αἰσθήσεων λόγῳ τοὺς περὶ Δημόκριτον, ὅτι τὰ κοινὰ αἰσθητὰ ἴδια ποιοῦσι τῶν αἰσθήσεων. φθάνει δὲ εἰρηκέναι καὶ ἐν τοῖς Περὶ ψυχῆς τίνα μέν ἐστι κοινὰ αἰσθητά, τίνα δὲ ἴδια, καὶ ὅτι αἱ αἰσθήσεις ἐν τοῖς ἰδίοις ἑκάστη αἰσθητοῖς ἀληθεύει, περὶ δὲ τὰ κοινὰ διαψεύδεται. καὶ νῦν δέ τινα τῶν κοινῶν παρατίθεται, δεικνὺς ὅτι τὰ κοινὰ αἰσθητὰ ἴδια ποιοῦσι. μέγεθος γὰρ καὶ σχῆμα κοινὰ αἰσθητά, ὧν νῦν μνημονεύει, ὥσπερ καὶ κίνησις καὶ ἀριθμὸς καὶ στάσις καὶ διάστημα. προστίθησι δὲ τῷ μεγέθει καὶ τῷ σχήματι ὡς κοινὰ καὶ αὐτὰ αἰσθητὰ νῦν τό τε τραχὺ καὶ τὸ λεῖον καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλὺ τὸ ἐν ὄγκοις, ὡς οὐκ ὄντα ταῦτα σχήματα διὰ τὸ μὴ ὑποπίπτειν ἴσως τῷ ὅρῳ τοῦ σχήματος. τὸ δὲ ἐν ὄγκοις προσέθηκεν, ἐπεὶ τὸ τραχὺ καὶ τὸ λεῖον καὶ ὀξὺ καὶ ἐν ψόφῳ, ἔστι δὲ ὀξὺ καὶ ἐν χυμῷ· ὧν τὰ μὲν ἀκοῆς ἴδια αἰσθητά, τὰ δὲ γεύσεως. Τὰ δὲ ἐν ὄγκοις φησίν, ὥσπερ καὶ τὰ ἄλλα τὰ εἰρημένα, κοινὰ εἶναι τῆς τε ἁφῆς καὶ τῆς ὄψεως, καὶ εἰ μὴ πασῶν. ὡς γὰρ σχημάτων ἡ ὄψις ἐστὶν ἀντιληπτική, οὕτω καὶ τοῦ ἐν ὄγκοις τραχέος τε καὶ λείου καὶ ὀξέος καὶ ἀμβλέος. σημεῖον δὲ τοῦ κοινὰ αὐτὰ εἶναι παρέθετο τὸ περὶ ταῦτα ἀπατᾶσθαι αὐτάς, οὐκ ἀπατωμένας περὶ τὰ ἴδια· ἡ γὰρ ὄψις οὐκ ἀπατωμένη περὶ τὰ ἴδια χρώματα ἀπατᾶται περὶ ταῦτα. Διαφορὰν δὲ τοσαύτην τῶν ἰδίων αἰσθητῶν ἐχόντων πρὸς τὰ κοινά, ἐκεῖνοι τὰ ἴδια τοῖς κοινοῖς συνάπτουσι. πῶς δὲ τοῦτο ποιοῦσιν, ἑξῆς λέγει· Δημόκριτος γὰρ τὰ χρώματα, τὸ λευκὸν καὶ τὸ μέλαν, ἴδια ὄψεως ὄντα, εἰς τὸ λεῖον ἄγει καὶ τὸ τραχύ, τὸ μὲν λευκὸν λεῖον, τὸ δὲ μέλαν τραχὺ λέγων, ἃ κοινὰ τῇ ὄψει πρὸς τὴν ἁφήν ἐστιν, ὥστε γίνεται αὐτῷ τὸ κοινὸν αἰσθητὸν τῷ ἰδίῳ τῆς ὄψεως ταὐτόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Sens.85 πάλιν τῆς μὲν γεύσεως ἴδια αἰσθητὰ οἱ χυμοί· οἱ δὲ περὶ Δημόκριτον τοῖς σχήμασι τοὺς χυμοὺς ἀνατιθέασι· παρὰ γὰρ τὴν τούτων διαφορὰν τὴν τῶν χυμῶν φασι διαφορὰν γίνεσθαι, ὀξεῖς μὲν χυμοὺς λέγοντες εἶναι τοὺς ἐκ τῶν τοιούτων σχημάτων συγκειμένους, γλυκεῖς δὲ τοὺς ἐκ λείων τε καὶ περιφερῶν. αἱ γὰρ ἄτομοι κατὰ τὰς τῶν σχημάτων ὧν ἔχουσι διαφορὰς διαφέροντας τοὺς χυμοὺς τῶν ἐκ τῆς συμπλοκῆς αὐτῶν γινομένων ποιοῦσι. γίνεται οὖν πάλιν τὰ σχήματα κοινὰ ὄντα αἰσθητὰ ἴδια τῆς γεύσεως κατ' αὐτούς. Δείξας δὲ ὅτι τὰ σχήματα κοινὰ αἰσθητὰ ὄντα ἴδια κατ' αὐτοὺς [ἐπὶ] τῆς γεύσεως γίνεται, ἐπιφέρει ὅτι [καίτοι] τὰ κοινὰ ἢ οὐδεμιᾶς ἂν εἴη ἴδια ἢ μᾶλλον τῆς ὄψεως (ἐπιζητήσαι δ' ἄν τις διὰ τί μᾶλλον τῶν σχημάτων ἡ ὄψις τῆς ἁφῆς εἴη ἂν κριτική. ἢ ἐπεὶ πάντων τῶν κοινῶν ἡ ὄψις ἀντιληπτική, κατὰ τοῦτο ἂν εἴη μᾶλλον ταύτης τὰ κοινά· πλήθους γὰρ καὶ διαστήματος οὐκ ἔστιν ἡ ἁφὴ ἀντιληπτική). εἰ δὲ τὴν γεῦσίν τις λέγοι μᾶλλον τῶν κοινῶν ἀντιληπτικὴν εἶναι (τῆς γὰρ ἀκριβεστάτης περί τι αἰσθήσεώς ἐστι τὸ τῶν κατ' αὐτὸ ἐλαχίστων ἀντιλαμβάνεσθαί τε καὶ διακρίνειν αὐτά· τῶν δὲ ἐλαχίστων σχημάτων τὴν γεῦσίν φασιν ἀντιλαμβάνεσθαι. ὧν γὰρ οὐδεμία αἴσθησις ἀντιλαμβάνεται ὄγκων ὡς ὀξέων ἢ λείων, τούτων ἡ γεῦσις αἰσθάνεται κατ' αὐτούς, εἴγε οἱ χυμοὶ ἐκ σχημάτων), 〈ἐχρῆν αὐτὴν καὶ τῶν〉 ἄλλων κοινῶν μάλιστα αἰσθάνεσθα ι . εἰ οὖν τῶν μὲν σχημάτων μὴ μόνον ἐν τοῖς χυμοῖς ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ἄλλοις ὄντων, αἰσθάνεσθαι δὲ τῶν ἐλαχίστων καὶ δυσαισθητοτάτων ταύτης, καὶ τῶν ἄλλων ῥᾳδίως αἰσθανθήσεται. νῦν δὲ οὐκέτι τῶν ἄλλων σχημάτων ἐστὶν ἡ γεῦσις ἀντιληπτική.

in Sens.86 πῶς γὰρ κύβου ἡ γεῦσις, καθὸ γεῦσις, κριτική; δύο δὲ γραφῶν φερομένων μᾶλλον σῴζει τὴν τῶν λεγομένων διάνοιαν ἡ οὕτως ἔχουσα· τὰ γοῦν ἐλάχιστα τῆς ἀκριβεστάτης αἰσθήσεώς ἐστιν διακρίνειν περὶ ἕκαστον γένο ς . ὥστε ἐχρῆν τὴν γεῦσιν καὶ τῶν ἄλλων κοινῶν αἰσθάνεσθα ι . p. 442b17 Ἔτι τὰ μὲν αἰσθητὰ ἅπαντα ἔχει ἐναντίωσι ν . Καὶ διὰ ταύτης τῆς ἐπιχειρήσεως δείκνυσιν ὅτι μή ἐστι τὰ σχήματα μήτε ὁρατὰ μήτε γευστὰ μήτε ὅλως ἴδια αἰσθητά. πάντα μὲν γὰρ τὰ ἴδια αἰσθητὰ ἔχει ἐναντίωσιν, τὰ τῆς ὄψεως λευκόν τε καὶ μέλαν, τὰ τῆς γεύσεως γλυκὺ καὶ πικρόν, τὰ τῆς ἀκοῆς ὀξὺ καὶ ἀμβλύ, τὰ τῆς ἁφῆς θερμὸν καὶ ψυχρόν, ὑγρὸν καὶ ξηρὸν καὶ ὅσων ἡ ἁφὴ ἐναντιώσεων, ἀλλὰ καὶ ἐν τοῖς ὀσφρητοῖς ἐναντίωσίς ἐστι. σχῆμα δὲ σχήματι οὐκ ἔστιν ἐναντίο ν . ὥστε εἰ ἐν τοῖς γευστοῖς ἐστιν ἐναντίωσις, ἐν δὲ σχήμασιν οὐκ ἔστιν, οὐκ ἂν τὰ σχήματα εἴη γευστά, οὕτως δὲ οὐδ' ὅλως αἰσθητὰ ὡς ἴδιά τινος αἰσθήσεως. ἐπεὶ δὲ φαντασίαν ἀποτελεῖ τὸ περιφερὲς ἐναντίον εἶναι τῷ γωνίας ἔχοντι, διὰ τοῦ εἰπεῖν τίνι γὰρ τῶν πολυγωνίων τὸ περιφερὲς ἐναντίο ν ; ἔδειξεν ὅτι μηδὲ ἔστιν ἐν αὐτοῖς ἐναντιότης. δεῖ μὲν γὰρ ἓν ἑνὶ ἐναντίον εἶναι. ποῖον δ' ἔσται τῶν πολυγωνίων σχημάτων ἐναντίον τῷ κύκλῳ; οὐ γὰρ μᾶλλον τόδε ἢ ἄλλο τι. *** οὐκ ἔστιν ἀλλήλοις τὰ αὐτά. ἔτι ὅτι τῷ κύκλῳ οὐδέν ἐστιν ἐναντίον, διὸ οὐδὲ τῇ κύκλῳ κινήσει, διὰ πλειόνων ἐν τοῖς Περὶ οὐρανοῦ δέδεικται καθόλου. ὥστε εἰ τὰ μὲν ἴδια αἰσθητὰ ἐναντίωσιν ἔχει, τὰ δὲ σχήματα οὐκ ἔχει ἐναντίωσιν, οὐκ ἂν εἴη τὰ σχήματα ἴδια αἰσθητά. ἔτι ἀπείρων ὄντων τῶν σχημάτων ἀναγκαῖον καὶ αὐτοὺς ἀπείρους εἶνα ι , εἰ οἱ χυμοὶ [τὰ] σχήματα. ἄπειρα δὲ τὰ σχήματα διαφέροντα ἀλλήλων κατὰ Δημόκριτον· ἔδει 〈οὖν〉 καὶ ἀπείρους διαφορὰς εἶναι χυμῶν.

in Sens.87 εἶτα ἐπεὶ ἐδύνατό τις λέγειν, φεύγων τὸ ἄτοπον, τὸ εἶναι μὲν ἀπείρους χυμῶν διαφοράς, μὴ μέντοι πάσας αἰσθητὰς εἶναι, πρὸς τὸ ῥηθὲν ἀνθυπήνεγκεν· διὰ τί γὰρ ὁ μὲν τῶν χυμῶν αἴσθησιν ποιήσε ι , ὁ δ ' ο ὔ ; δεῖται γὰρ τοῦτο λόγου. p. 442b23 Καὶ περὶ μὲν τοῦ χυμοῦ καὶ γευστοῦ εἴρηται · τὰ δ ' ἄλλα πάθη τῶν χυμῶ ν . Περὶ χυμοῦ, ὅ ἐστι γευστόν, εἰρῆσθαί φησιν ἡμῖν, τί ποτέ ἐστι καὶ τίς ἡ γεῦσις αὐτοῦ, ὃ ἦν οἰκεῖον τῇ προκειμένῃ πραγματείᾳ. τὰ γὰρ ἄλλα πάθη τῶν χυμῶ ν , τίνες τε αὐτῶν διαφοραὶ καὶ τίνες ἑκάστου χυμοῦ οἰκεῖαι καὶ προσεχεῖς γενέσεις, οἰκεῖά φησιν εἶναι τῇ περὶ φυτῶν φυσιολογίᾳ. καὶ ἔστι Περὶ φυτῶν Θεοφράστῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πραγματεία γεγραμμένη· Ἀριστοτέλους γὰρ οὐ φέρεται. ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΑΙΣΘΗΤΩΝ ΒΙΒΛΙΟΝ Β p.

in Sens.88.(1t) 442b27 Τὸν αὐτὸν δὲ τρόπον δεῖ νοῆσαι καὶ περὶ τὰς ὀσμά ς . ὅπερ γὰρ ποιεῖ ἐν τῷ ξηρῷ τὸ ὑγρό ν , τοῦτο ποιεῖ ἐν ἄλλῳ γένει τὸ ἔγχυμον ὑγρό ν . Μεταβέβηκε μὲν ἀπὸ τῶν χυμῶν ἐπὶ τὸν περὶ τῶν ὀσφραντῶν λόγον. ὃ δὲ φθάσας εἶπε βραχέως, ὅτε περὶ τῶν χυμῶν τὸν λόγον ἐποιεῖτο, νῦν διασαφεῖ. ὃ μὲν γὰρ προεῖπεν ἔστι· “περὶ δὲ ὀσμῆς καὶ χυμοῦ λεκτέον σχεδὸν γάρ ἐστι τὸ αὐτὸ πάθος, οὐκ ἐν τοῖς αὐτοῖς δέ ἐστιν ἑκάτερον αὐτῶν,” τοῦτο δὲ νῦν πῶς ἐν ἐκείνοις εἶπε δείκνυσι. τὸν αὐτὸν γάρ, φησί, τρόπον δεῖ νοῆσαι γινομένην τὴν ὀσμήν, ὃν τρόπον ἐδείχθη γινόμενος καὶ ὁ χυμός. ὡς γὰρ τὸν χυμὸν ἐποίει τὸ ξηρὸν τὸ ἐν τῇ γῇ μιγνύμενόν πως καὶ ἐναποπλυνόμενον τῷ ὕδατι ὑπὸ θερμότητος συνεργούμενον, οὕτω φησὶ τὸ ὑγρὸν τὸ ἤδη χυμὸν ἔχον, τοῦτο δ' ἐστὶ τὸ ξηρῷ μεμιγμένον, ὃν τρόπον εἴρηκεν, ἐν ἀέρι καὶ ὕδατι ἀποπλυθέν πως ποιεῖν τὴν ὀσμήν. Ἐν ἄλλῳ δὲ γένει εἶπεν· οὔτε γὰρ καθὸ ὑγρά ἐστι ταῦτα, γίνεται ἐν αὐτοῖς ἡ ὀσμή, οὔτε καθὸ διαφανῆ ἢ χυμοῦ δεκτικά, ἀλλὰ καθὸ ἄλλης φύσεως κεκοινώνηκε τῆς δυναμένης δέχεσθαι τὰς ὀσμάς, ἣν ἀνάλογον ἄν τις δίοσμον ὀνομάζοι.

in Sens.89 καθὸ μὲν γὰρ διαφανῆ τὸ ὕδωρ καὶ ὁ ἀήρ, χρωμάτων εἰσὶ δεκτικά· κατὰ δὲ τὴν ὑγρότητα τὸ ὕδωρ τὴν σωματώδη, καθ' ἥν ἐστιν ὑπὸ τοῦ ξηροῦ παθητικόν, τοὺς χυμοὺς δέχεται, τὰς δὲ ὀσμὰς κατ' ἄλλην τινὰ κοινὴν δύναμιν παρὰ ταύτας, ἣν ἄλλο γένος ὠνόμασεν· ἢ ἐν ἄλλῳ γένει εἶπε ‘τῷ ὀσφραντῷ‘· οὐ γὰρ ταὐτὸν γένος γευστόν τε καὶ ὀσφραντόν. Εἰπὼν δὲ ἐν ἀέρι καὶ ὕδατι γίνεσθαι τὴν ὀσμὴν ὑπὸ τῆς ἐγχύμου ξηρότητος, ἐπεὶ κοινὸν αὐτοῖς καὶ τὸ διαφανές, ὅτι μή, καθὸ διαφανῆ ἐστι, κατὰ τοῦτο τὰς ὀσμὰς δέχεται, δι' ὧν ἐπιφέρει ἐδήλωσε. κοινὸν μὲν γάρ φησι κατ' αὐτῶν τὸ διαφανὲς κατηγορεῖσθαι, οὐ μὴν δέχεσθαι τὰς ὀσμὰς καθὸ διαφανῆ ἐστιν, ἀλλὰ καθὸ πλυτικὰ καὶ ῥυπτικά ἐστιν ἐγχύμου ξηρότητος ἀποπλυνομένης πως ἐν αὐτοῖς, ὡς ἐγένετο ὁ χυμὸς τῆς γεώδους ξηρότητος ἐναποπλυνομένης ἐν τῷ ὕδατι. εἰπὼν δὲ πρότερον ἔγχυμον ὑγρότητα εἶναι τὴν ἐν τῷ ἀέρι καὶ τῷ ὕδατι τὰς ὀσμὰς ποιοῦσαν, νῦν τὸ αὐτὸ τοῦτο ἔγχυμον πάλιν ὠνόμασεν ξηρότητα, ὅτι ὁ χυμὸς ἐξ ἀμφοῖν, ἔκ τε ὑγρότητος ὑδατώδους καὶ ξηρότητος γεώδους, ἐδείχθη. τὸ μὲν οὖν ξηρὸν οὐδέπω χυμὸν ἔχον ἐν αὐτῷ, μιγνύμενον καὶ ἐναποπλυνόμενον τῷ ὕδατι τοὺς χυμοὺς πεσσόμενον ὑπὸ θερμότητος ἐποίει· τὰς δὲ ὀσμὰς οὐκέτι τὸ ἄχυμον ξηρόν, ἀλλὰ τὸ μεμιγμένον ἤδη τῷ ὕδατι καὶ χυμὸν ἔχον ποιεῖ. ὅτι γὰρ ὑπὸ τῆς ἐγχύμου ὑγρότητος ἢ ξηρότητος (οὐδὲν γὰρ διαφέρει ὅπως ἂν ῥηθείη) αἱ ὀσμαὶ γίνονται, δείξει μὲν καὶ αὐτός, δῆλον δὲ καὶ ἐκ τοῦ πάντα ὅσα ἐστὶν ὀσφραντὰ ταῦτα καὶ χυμὸν ἔχειν τινά. τῇ γοῦν ὀσφρήσει πολλάκις πρώτῃ γνωρίζομέν 〈τινασ〉 καὶ τῶν σηπομένων χυμῶν καὶ τῶν προσκαιομένων καὶ τῶν ὀξέων γινομένων καὶ τῶν εἰς ἄλλον τινὰ χυμὸν ἐξ ἄλλου διὰ τὴν ἕψησιν μεταβαλλόντων, μηδέπω φανερᾶς αὐτῶν τῆς μεταβολῆς τῇ γεύσει γινομένης, ὡς ἐκ τῶν χυμῶν τὴν γένεσιν τῆς ὀσμῆς ἐχούσης καὶ κατὰ τὴν ἐκείνων μεταβολὴν ἀλλοίας γινομένης καὶ αὐτῆς καὶ συμμεταβαλλούσης ἐκείνῃ.

in Sens.90 p. 443a2 Οὐ γὰρ μόνον ἐν ἀέρι ἀλλὰ καὶ ἐν ὕδατι τὸ τῆς ὀσφρήσεώς ἐστι ν . Προειπὼν ὅπερ γὰρ ποιεῖ τὸ ξηρὸν ἐν τῷ ὑγρ ῷ , τοῦτο ποιεῖ ἐν ἄλλῳ γένει τὸ ἔγχυμον ὑγρό ν , ἐν ἀέρι καὶ ὕδατι ὁμοίω ς , νῦν ὅτι ἐν ἀμφοτέροις δείκνυσιν. ὅτι γὰρ μὴ μόνον ἐν ἀέρι τὰ ὀσφραντά, ὡς ἔδοξέ τισι 〈τῷ〉 τοῖς πλείστοις διὰ τῆς τοῦ ἀέρος ἀναπνοῆς τὴν ὄσφρησιν γίνεσθαι, ἀλλὰ καὶ ἐν ὕδατι, ἔδειξεν ἐπί τε τῶν ἰχθύων καὶ τῶν ὀστρακοδέρμω ν , ἃ ἐν τῷ ὕδατι ὄντα ὀσφρᾶται καὶ πολλάκις πόρρωθεν ἐπὶ τὴν τροφὴν ἔρχεται τῇ ὀσφρήσει ἑπόμενα, οὔτε ὄντος ἐν τῷ ὕδατι ἀέρος (οὐ γὰρ ἐν τῷ βάθει τοῦ ὕδατος μένει, ἀλλὰ ἐπιπολάζει. ἀνατρέχει γάρ, κἂν ἐν βάθει γένηται, ὅ τε ἀὴρ καὶ τὸ πνεῦμα· δηλοῦσι δὲ καὶ οἱ ἀσκοὶ οἱ πεφυσημένοι τοῦτο, ἂν εἰς βάθος κατενεχθέντες λυθεῖεν), ἀλλ' οὐδὲ αὐτὰ ὅλως ἀναπνέοντ α . ὅτι γὰρ ὅσα πνεύμονα τῶν ζῴων οὐκ ἔχει οὐκ ἀναπνεῖ, δέδεικται αὐτῷ ἐν ἄλλοις. εἰ δέ τις μὴ μόνον λέγοι τὸ ὕδωρ ὑγρόν, ἀλλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὸν ἀέρα (καὶ γὰρ αὐτὸς ὑγρός), εἴη ἄ ν , φησίν, ὀσμὴ ἡ ἐν τῷ ὑγρῷ τοῦ ἐγχύμου ξηροῦ φύσι ς , τουτέστιν ὀσφραντὸν ἂν εἴη τὸ ἐγγινόμενον ὑπὸ τοῦ ἐγχύμου ξηροῦ πάθος, καθὸ τοιοῦτόν ἐστιν, ἐν τῷ ὑγρῷ. Ἑξῆς δὲ ὅτι μὴ ἁπλῶς ἀπὸ ξηρότητος, ὡς ἐγίνετο ὁ χυμός, ἀλλ' ἀπὸ ἐγχύμου ξηρότητος ἡ ὀσμὴ γίνεται, δείκνυσι διὰ τοῦ τὰ ὀσμὴν ἔχοντα πάντα καὶ χυμὸν ἔχειν καὶ ὅσα ἄχυμά ἐστι ταῦτα καὶ ἄοσμα εἶναι. τὰ μὲν γὰρ ἁπλᾶ σώματα ἄοσμα, ὅτι καὶ ἄχυμα· οὔτε γὰρ γῆ καθ' αὑτὴν οὔτε πῦρ καθ' αὑτὸ χυμὸν ἔχει τινά, καίτοι ξηρὰ ὄντα, οὔτε ὕδωρ ἢ ἀὴρ ὑγρὰ πάλιν ὄντα αὐτὰ καθ' αὑτὰ χυμόν τινα ἔχει. ὅσα γὰρ δοκεῖ χυμόν τινα ἔχειν αὐτῶν, οὐκ ἔστιν ἁπλᾶ, ἀλλ' ἤδη μέμικται. ἥ τε γὰρ θάλασσα ὑγρὰ οὖσα χυμὸν ἁλμυρὸν ἔχει, ὅτι μέμικταί τινι ξηρότητι (διὸ καὶ ὀσμὴν ἔχει), ἀλλὰ καὶ οἱ ἅλες δοκοῦντες εἶναι γῆς καὶ ὀσμὴν ἔχουσι καὶ χυμόν· οὐ γάρ εἰσιν ἄμικτον ἔχοντες ὑγρῷ τὴν ξηρότητα.

in Sens.91 καὶ μᾶλλόν φησι τοὺς ἅλας τοῦ νίτρου καὶ χυμὸν καὶ ὀσμὴν ἔχειν, ὅτι καὶ μᾶλλον οὗτοι τῷ ὑγρῷ εἰσι μεμιγμένοι· τὸ μὲν γὰρ νίτρον γῆς ἐστι μᾶλλον, οἱ δὲ ἅλες πλείω τὴν ὑγρότητα ἔχουσιν, ὡς δηλοῖ τὸ ἐξικμαζόμενον ἔλαιον ἐξ αὐτῶν. ἤτοι δὲ τοῦ ἔχειν ὑγρότητα τοὺς ἅλας σημείῳ ἐχρήσατο τῷ ἐξικμαζομένῳ ἐλαίῳ, ἢ τοῦ χυμὸν αὐτοὺς ἔχειν· δοκεῖ γὰρ πικρὸν εἶναι τὸ ἐξικμαζόμενον ἔλαιον ἐξ αὐτῶν. ἀλλὰ καὶ οἱ λίθοι ἄοσμοι, ὅτι καὶ ἄχυμοι. τὰ δὲ ξύλα ὁμοῦ ὀσμῆς τε φαίνεται κοινωνοῦντα καὶ χυμοῦ, καὶ ὅσα αὐτῶν ὑγρότερα, ὁμοῦ τε ἀχυμότερα καὶ ἀοσμότερα. Ἀλλὰ καὶ ἐπὶ τῶν μεταλλευομένων δείκνυσι συνοδεύουσαν τὴν ὀσμὴν τῷ χυμῷ· καὶ γὰρ ἐπ' ἐκείνων τὰ μὲν ἄχυμα ἄοσμα εἶναι ὡς χρυσόν, ὀσμῆς δὲ μετέχειν τόν τε χαλκὸν καὶ τὸν σίδηρον, ὅτι καὶ χυμοῦ. ὅτι δὲ ὁ χρυσὸς ἔλαττον ὕδατος ἔχει, δῆλον καὶ ἐκ τοῦ μὴ σήπεσθαι αὐτόν· ὁ γὰρ ἰὸς σῆψίς ἐστιν, ἥτις γίνεται δι' ἄπεπτον ὑγροῦ μεταβολήν. δυσώδης δὲ καὶ ὁ τοῦ χαλκοῦ καὶ ὁ τοῦ σιδήρου ἰὸς τῷ ὑγροῦ πλέον ἔχειν. ὁ δὲ χρυσὸς λειότερός τέ ἐστι καὶ ἐλαύνεται μᾶλλον [ἀλλὰ] τῷ καλῶς κεκρᾶσθαί τε καὶ μεμῖχθαι· ὅτι δὲ ἄοσμος καὶ ἄχυμος ὁ χρυσὸς ἡ αἴσθησις μαρτυρεῖ· πρὸς ὃ νῦν αὐτῷ κέχρηται παραδείγματι. καὶ τὸ τὰς σκωρίας δὲ ἀοσμοτέρας γίνεσθαι τῶν μεταλλευομένων διὰ τὸ ἐκκαίεσθαι τὸ ἐν αὐταῖς ὑγρόν τε καὶ τὸν χυμὸν σημεῖον τοῦ τὴν ὀσμὴν ἐν χυμῷ ὑγρῷ εἶναι. τὸν δὲ ἄργυρον καὶ τὸν κασσίτερον τῶν μὲν ἀοσμότερόν φησιν εἶναι, τῶν δὲ μᾶλλον ἔχειν ὀσμήν, χρυσοῦ μὲν μᾶλλον ὀσμὴν ἔχειν, χαλκοῦ δὲ καὶ σιδήρου ἀοσμότερον εἶναι διὰ τὸ εἶναι ὕδατος πλέον ἐν αὐτοῖς καὶ μὴ ὁμοίως κεκρᾶσθαι τὸ ὑγρὸν τῷ ξηρῷ ἐν τούτοις, ὡς ἐν τῷ σιδήρῳ τε καὶ χαλκῷ. πῶς οὖν, εἰ ἅμα ὅ τε χυμὸς καὶ ἡ ὀσμή ἐστιν, ἔτι εἴη ἂν ἡ ὀσμὴ ὑπὸ τοῦ ἐγχύμου ξηροῦ γινομένη; ἢ οὐ λέγει πρῶτον εἶναι τὸν χυμόν, ἔπειτα τοῦτον ἐν τοῖσδε γινόμενον ποιεῖν τὴν ὀσμήν, ἀλλὰ τὴν ἔγχυμον ξηρότητα, οὐχ ἁπλῶς τὴν ξηρότητα, αἰτίαν εἶναι τοῦ ἔν τε τῷ ἀέρι καὶ ἐν τῷ ὕδατι γινομένου πάθους, ὅ ἐστιν ὀσμή, ὡς [ἂν] ἅμα μὲν εἶναι ἄμφω, αἴτιον δὲ τὴν ἔγχυμον ὑγρότητα τῆς ὀσμῆς γίνεσθαι, εἰ ποιητικὸν ὁ χυμός ἐστι τῆς ὀσμῆς.

in Sens.92 ὁ γὰρ ἀὴρ ἄχυμος ὢν ὀσμῆς γίνεται δεκτικός, ὥστε ποιητικὸν ἂν εἴη τῆς ἐν τούτῳ ὀσμῆς ἡ ἔγχυμος ξηρότης οὖσα ἐν ἄλλῳ. ὁμοίως καὶ τὸ ὕδωρ αὐτὸ καθ' αὑτὸ ἄχυμον ὂν γίνεται ἀπὸ τῆς ἐγχύμου ξηρότητος *** οὐ γινόμενον ἅμα καὶ γευστόν. εἰ δὴ ἐν τούτοις ἡ ὀσμὴ οὖσιν ἀχύμοις, εἴη ἂν ὑπὸ τῆς ἐγχύμου ξηρότητος ἡ ἐν τούτοις ὀσμὴ γινομένη ὡς ὑπὸ αἰτίου ποιητικοῦ. ὡς γὰρ τὸ χρῶμα τὸ διαφανὲς διατίθησιν, οὕτω καὶ ὁ χυμὸς τὰ ὑγρὰ τὰ προειρημένα· καὶ ὡς ἡ ὄψις οὐκ ἂν χωρὶς διαφανοῦς γίνοιτο, οὕτως οὐδὲ ἡ ὄσφρησις χωρὶς τούτων. ὁ μὲν οὖν χυμὸς ἐν τοῖς ἔχουσιν αὐτόν ἐστιν, ἡ δὲ ὀσμὴ οὐκ ἐν τοῖς ἔχουσι τὸν χυμόν ἐστιν, ἀλλ' ὑπὸ τῶν ἐχόντων ἐν τούτοις γίνεται· διὰ γὰρ τούτων πᾶσα ὄσφρησίς τε καὶ ὀσμή. p. 443a21 Δοκεῖ δὲ ἐνίοις ἡ καπνώδης ἀναθυμίασις εἶναι ὀσμὴ οὖσα κοινὴ γῆς καὶ ἀέρο ς , καὶ πάντες ἐπιφέρονται ἐπὶ τοῦτο περὶ ὀσμῆ ς . Ἐνίους τῶν φυσικῶν φησιν ἐπὶ τῆς δόξης ταύτης γεγονέναι, ὅτι ἄρα ἐστὶν ἡ καπνώδης ἀναθυμίασις ὀσμὴ οὖσα ἐξ ἀέρος τε καὶ γῆς· ὧν εἶναι καὶ Ἡράκλειτον λέγοντα· 'εἰ πάντα τὰ ὄντα ἦν καπνός, ῥῖνες ἂν διεγίνωσκον' καὶ ἐγνώριζον αὐτά, δηλονότι τῷ αἰσθάνεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῶν, ὡς τοῦ καπνοῦ ὄντος ἰδίου αἰσθητοῦ ταῖς ῥισίν. εἰπὼν δέ τινας τῶν φυσικῶν λέγειν ὀσμὴν εἶναι τὴν καπνώδη ἀναθυμίασιν, πάντων φησὶ τῶν φυσικῶν τὴν ὀσμὴν τοὺς μὲν ἀτμίδα ὑπολαβεῖν εἶναι, τοὺς δὲ ἀναθυμίασιν, τοὺς δὲ ἀμφότερα. τί δέ ἐστιν ἑκάτερον αὐτῶν καὶ τίς αὐτοῖς ἡ πρὸς ἄλληλα διαφορά, ἑξῆς λέγει. ἡ μὲν γὰρ ἀτμὶς ὑγρά τίς ἐστιν ἀναθυμίασις (ἐκ γὰρ ἀέρος καὶ ὕδατος), ἧς ἡ μεταβολὴ εἰς ὕδωρ· ἣν δὲ λέγουσιν ἀναθυμίασιν, καπνώδης ἐστὶν ἀναθυμίασι ς , καὶ αὐτὴ ἔχουσά τι ἀέρος τε καὶ γῆς, ἐξ ἧς φησι γῆς τι εἶδος συνίστασθαι· ἐκ ταύτης γὰρ ἥ τε αἰθάλη καὶ ἡ ἀσβόλη γίνεται.

in Sens.93 εἰπὼν δὲ τί ἑκάτερόν ἐστιν, ἐπιφέρει· ἀλ λ ʼ οὐδέτερον τούτων ἔοικεν δηλονότι ὀσμὴ εἶναι, ὡς ᾤοντο ἐκεῖνοι, καὶ δείκνυσι διὰ τί οὐδέτερον αὐτῶν ὀσμὴ εἶναι δύναται· ἡ μὲν γὰρ ἀτμὶς ὕδατός ἐστι ν , ὥστε οὐκ ἂν ἐν τῷ ἀέρι ὀσμὴ εἴη, εἰ ἡ ἀτμὶς ὀσμὴ εἴη (τὸ δὲ ὕδωρ ἄοσμόν ἐστι καθʼ αὑτό). ἡ δὲ καπνώδης ἀναθυμίασις οὐχ οἵα τε ἐν τῷ ὕδατι γίνεσθαι. ὀσμὴ δὲ γίνεται ἐν αὐτῷ· ὀσφρᾶται γὰρ ἐν αὐτῷ καὶ τὰ κατὰ τοῦ ὕδατος. p. 443b1 Ἔτι ἀναθυμίασις ὁμοίως λέγεται ταῖς ἀπορροίαι ς . Ὅτι μή ἐστιν ἀναθυμίασις δείκνυσιν ἐκ τοῦ τὴν μὲν ἀναθυμίασιν ἀφʼ οὗ ἂν γίγνηται ἀπόρροιάν τινα εἶναι. ὡς οὖν οἱ ἀπορροίας εἶναι λέγοντες καὶ ταύτας αἰτιώμενοι ὡς αἰτίας τοῦ ὁρᾶν οὐ καλῶς ἔλεγον (ἀνάγκη γὰρ ἦν σωματικῆς τοιαύτης ἀπορροίας ἀπὸ τῶν ὁρατῶν γινομένης μηδὲ πρὸς ὀλίγον σῴζεσθαι τὰ ὁρώμενα, ἀλλὰ διαφορεῖσθαι), οὕτως εἰ καὶ ἀπὸ τῶν ὀσφραντῶν ἀναθυμίασίς τις καὶ ἀπόρροια γίνεται, ἔδει ταχέως αὐτὰ διαφορεῖσθαι καὶ μηδὲ πρὸς ὀλίγον αὐτὰ διαμένειν χρόνον. νῦν δὲ ὁρῶμεν, ὅτι βραχέα τινὰ ὄντα πλεῖστον ὅσον χρόνον μένει τὴν εὐωδίαν ἢ τὴν ὀσμὴν ὅλως φυλάσσοντα· ὡς γὰρ ἐφʼ ὧν φανερὰ ἡ ἀναθυμίασις ταχέως ἀναλίσκεται ταῦτα, ὡς τὰ θυμιώμενα, οὕτως ἔδει καὶ τὰ ἄλλα. οὐ γινομένου δὲ τούτου οὐδʼ ἂν τῇ ἀναθυμιάσει καὶ τῇ ἀπορροίᾳ τῇ ἀπʼ αὐτῶν ἡ ὀσμὴ γίνοιτο. ἔτι δὲ ἀφὴ ἂν γίνοιτο, ὡς προείρηται, ἡ τῶν αἰσθητῶν αἴσθησις· 〈ὃ〉 ὅτι μὴ ὑγιὲς προείρηται. ὅμοιος οὖν ὁ τῶν ἀναθυμιάσεων λόγος ὢν τῷ τῶν ἀπορροιῶν ὁμοίως ἂν ἐκείνῳ ἄτοπος ὢν δεικνύοιτο. p. 443b3 Ὅτι μὲν οὖν ἐνδέχεται ἀπολαύειν τὸ ὑγρὸν καὶ τὸ ἐν τῷ πνεύματι καὶ τὸ ἐν τῷ ὕδατι καὶ πάσχειν τι ὑπὸ τῆς ἐγχύμου ξηρότητος οὐκ ἄδηλο ν . Δείξας ὅτι μήτε ἀτμὶς μήτε καπνώδης ἀναθυμίασις ἡ ὀσμὴ διὰ τοῦ καὶ ἐν ὕδατι καὶ ἐν ἀέρι ὀσμὴν γίνεσθαι, ἐκείνων δὲ μηδέτερον ἐν ἀμφοτέροις (οὔτε γὰρ ἡ ἀτμὶς ἐν τῷ ἀέρι οὔτε ἡ καπνώδης ἀναθυμίασις ἐν τῷ ὕδατι), ὑπομιμνῄσκει ἡμᾶς ὅτι ἐν ἀμφοτέροις ἐδείχθη ἡ ὀσμὴ γινομένη ὑπὸ τῆς ἐγχύμου ξηρότητος διὰ τοῦ ἐν τῷ ἀέρι εἶναι τὰ ὀσφραινόμενα καὶ ἐν ὕδατι· οὐ γὰρ ὁ ἀὴρ μόνος καὶ ἡ ἐν τούτῳ ὑγρότης, ἀλλὰ καὶ ἡ ἐν τῷ ὕδατι κοινωνεῖ τοῦ πάθους τούτου.

in Sens.94 εἰπὼν δὲ τὴν ἐν τῷ πνεύματι ὑγρότητα, λέγων τὴν ἐν τῷ ἀέρι, *** , ὑπομιμνῄσκει ἡμᾶς τῶν ἐν ἄλλοις εἰρημένων περὶ τοῦ ἀέρος ὅτι ὑγρὸς τὴν φύσιν καὶ αὐτός. εἴρηται δὲ περὶ τούτου καὶ ἐν ἄλλοις μέν, ἐν δὲ τοῖς Περὶ γενέσεως καὶ φθορᾶς προηγουμένως. Εἰπὼν δὲ τοῦτο ἐπιφέρει ὅτι, εἰ ὁμοίως ἐν τοῖς ὑγροῖς τὸ ξηρὸν ἐναποπλυνόμενόν πως ποιεῖ τὰς ὀσμὰς καὶ ἐν τῷ ὕδατι τοὺς χυμοὺς (ἐν μὲν γὰρ τῷ ὕδατι ἡ ποιὰ τοῦ ξηροῦ ἀπόπλυσίς τε καὶ διήθησις χυμὸς ἦν, ἐν δὲ τοῖς ὑγροῖς πάλιν, ἀέρι τε καὶ ὕδατι, ἡ τοῦ ἐγχύμου ξηροῦ πάλιν ἀπόπλυσίς τε καὶ διήθησις ὀσμή), εἰ δὴ τὸ ξηρὸν ἐν τῷ ὑγρῷ ποιητικὸν ἀμφοτέρων, τοῦ τε χυμοῦ καὶ τῆς ὀσμῆς, καὶ 〈τῆς ὀσμῆσ〉 ἐστι τὸ ἐν τοῖς χυμοῖς ξηρὸν ποιητικόν, φανερὸν ὅτι ἀνάλογον δεῖ εἶναι τὰς ὀσμὰς τοῖς χυμοῖ ς . ἢ τὸ λεγόμενόν ἐστιν ὅτι, εἰ τὸ ἔγχυμον ξηρὸν ἐναποπλυνόμενον τῷ τε ὕδατι καὶ τῷ ἀέρι ὁμοίως ποιεῖ τὰς ὀσμάς, δῆλον ὡς ἀνάλογον ἔσονται καὶ αἱ ὀσμαὶ τοῖς χυμοῖς ὑφʼ ὧν γίνονται. κατὰ γὰρ τὰς τῶν χυμῶν διαφορὰς ἔσονται καὶ ὀσμῶν διαφοραί, εἴγε ὑπὸ τούτων ἐκεῖναι γίνονται, ὡς ἕπεσθαι ἐκείνῳ ὃ φίλον ἐκείνῳ, εἰ οὕτως ἔχοι. ἔτι δʼ ὅτι καὶ οὕτως ἔχει δείκνυσι λέγων· ἀλλὰ μὴν τοῦτό γε ἐ π ʼ ἐνίων συμβέβηκ ε , καὶ πῶς λέγει. καὶ γὰρ δριμεῖαι καὶ γλυκεῖαι καὶ αὐστηραὶ καὶ στρυφναὶ καὶ λιπαραί εἰσιν ὀσμα ί , ὥσπερ καὶ χυμοί, ἀναλογίαν ἑκάστης ὀσμῆς πρὸς ἕκαστον τῶν χυμῶν τούτων σῳζούσης. ἀλλὰ καὶ αἱ τῶν διασεσηπότων ὀσμαὶ τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πικροῖς τῶν χυμῶν ἀνάλογοι ἂν εἶεν. καὶ δεικνὺς τὴν ἀναλογίαν αὐτῶν εἶπεν· ὡς οἱ χυμοὶ οἱ πικροὶ καὶ δυσκατάποτοι, οὕτω καὶ αἱ σαπραὶ ὀσμαὶ δυσανάπνευστοι.

in Sens.95 ἃ λαβὼν ὡς φανερῶς οὕτως ἔχοντα, δι' αὐτῶν πιστοῦται τὰ προειρημένα, ὅτι 〈ὅπερ〉 ἐν τῷ ὕδατι ὁ χυμός ἐστι γινόμενος ὑπὸ τοῦ γεώδους ξηροῦ, τοῦτο ἐν τῷ ἀέρι καὶ ὕδατι ἡ ὀσμὴ γινομένη ὑπὸ τῆς ξηρότητος τῆς ἐγχύμου. καὶ ὅτι γε ἑκατέρου αὐτῶν αἰτία ἡ θερμότης (ποιητικὸν γὰρ ἐδείχθη τῶν χυμῶν τοῦτο, ὑφ' ὧν ἡ ὀσμὴ γίνεται), δείκνυσιν ἐκ τοῦ τὸ ψυχρὸν καὶ τὴν πῆξιν ἀμβλύνειν καὶ ἀφανίζειν ὁμοίως τούς τε χυμοὺς καὶ τὰς ὀσμάς. τὸ γὰρ θερμόν, ὃ ποιητικόν ἐστι τῶν χυμῶν, ἀφανίζουσί τε καὶ φθείρουσιν ἥ τε πῆξις καὶ τὸ ψυχρὸν δύο ὄντα τὴν διὰ τούτου γινομένην μῖξιν τε καὶ πέψιν ἐν αὐτοῖς. ἧς φθειρομένης εὐλόγως πρῶτον μὲν οἱ χυμοί, δευτέρως δὲ καὶ αἱ ὀσμαὶ αἱ ὑπὸ τούτων γινόμεναι ἐν τῷ ὑγρῷ φθείρονται. τὸ δ' ἐ π ' ἐνίων προσέθηκεν, ὅτι ἔδειξέ τινας ὀσμὰς οὐ τῷ ἕπεσθαι τοῖς χυμοῖς τὸ ἡδὺ καὶ τὸ λυπηρὸν ἐχούσας, ἀλλὰ καθ' αὑτάς. p. 443b16 Εἴδη δὲ τοῦ ὀσφραντοῦ δύο ἐστίν · οὐ γὰρ ὥσπερ φασί τινε ς , οὐκ ἔστιν εἴδη τοῦ ὀσφραντο ῦ . Ἦσάν τινες οἱ λέγοντες μὴ εἶναι εἴδη τοῦ ὀσφραντοῦ καθ' αὑτά, ὥσπερ ἦν εἴδη τῶν ὁρατῶν ἀλλὰ καὶ ἀκουστῶν καὶ ἁπτῶν καὶ χυμῶν. οὐχ οὕτως γὰρ ἔλεγον εἶναι καὶ τῶν ὀσφραντῶν εἴδη· καθ' αὑτὰς γὰρ δοκούσας αὐτῶν διαφορὰς οὐ καθ' αὑτὰς εἶναι, ἀλλ' ἀπὸ τῶν χυμῶν μεταφέρεσθαι· γλυκεῖαν γὰρ ὀσμὴν καὶ αὐστηρὰν καὶ στρυφνὴν καὶ τὰς τοιαύτας ἐν αὐταῖς διαφορὰς κατὰ τὴν ἀπὸ τῶν γευστῶν διαφορὰν λέγεσθαι, ὡς καὶ αὐτὸς ἔδειξε γινόμενον ἐπ' ἐνίων. δεικνὺς δὴ τοῦτο ψεῦδος ὄν φησι δύο εἴδη εἶναι καὶ δύο διαφορὰς τῶν ὀσφραντῶν· τὴν μὲν γὰρ τῶν ὀσφραντῶν διαφορὰν τοῖς χυμοῖς ἀκολουθεῖν, ᾗ τό τε ἡδὺ καὶ τὸ λυπηρὸν οὐ κατὰ τὴν αὑτῆς φύσιν ἔχει, ἀλλὰ κατὰ συμβεβηκός· ὁμοίως δὲ καὶ τὰ εἴδη τὰ κατ' αὐτὴν λεγόμενα κατὰ τὴν ἀπὸ τῶν χυμῶν μεταφοράν, ὑφ' ὧν γίνεται, ἔχει, καὶ οὐ καθ' ἑαυτήν.

in Sens.96 ἔστι δὲ τὸ εἶδος τοῦτο τῶν ὀσφραντῶν, ὅσον τῷ τροφίμῳ τε καὶ θρεπτικῷ χυμῷ ἀκολουθεῖ, γινόμενον ὑπ' ἐκείνου· κεῖται γὰρ ὅτι ἡ ὀσμὴ ὑπὸ τοῦ ἐγχύμου ξηροῦ γίνεται. ὅση δὴ ὑπὸ τοῦ τροφίμου χυμοῦ γίνεται, αὕτη τὸ ἡδὺ καὶ τὸ λυπηρὸν ἔχει κατὰ συμβεβηκός· κατὰ γὰρ τὴν ἐπὶ τὴν τροφὴν ἀναφοράν, ὑφ' ἧς γίνεται, καὶ αὐτὴ ἡδεῖα ἢ ἀηδὴς γίνεται. ἐπιθυμούντων μὲν γὰρ τῆς τροφῆς ἡδεῖαι αἱ ἀπ' αὐτῶν ὀσμαί, αἱ αὐταὶ δ' αὗται ἀηδεῖς κεκορεσμένων· καὶ οἷς μὲν ἡδεῖά τις τροφή, τούτοις καὶ ἡ ἀπ' αὐτῆς ὀσμὴ ἡδεῖα, οἷς δὲ προσκορής τις τροφή, τούτοις ἀηδὴς καὶ ἡ ἀπ' αὐτῆς ὀσμή. ὅσαι μὲν οὖν τοιαῦται τῶν ὀσμῶν, αὗται κατὰ συμβεβηκὸς ἔχουσι τὸ ἡδὺ καὶ τὸ λυπηρόν, ὡς εἰρήκαμέν τε καὶ λέγουσιν οἱ μὴ λέγοντες εἶναι καθ' αὑτὰ εἴδη τοῦ ὀσφραντοῦ (οὐδὲ γὰρ ἂν ἦν, εἰ πάντα τὰ ὀσφραντὰ ἠκολούθει ταῖς τῶν χυμῶν διαφοραῖς καὶ εἶχε τὸ 〈ἡδὺ καὶ τὸ λυπηρὸν〉 κατὰ συμβεβηκός, ἀλλ' οὐ καθ' αὑτὰς τοιαῦται. ὥστε εἴη ἂν [αὐτῶν] εἴδη δύο διάφορα τῶν οὕτως ὀσφραντῶν). εἰσὶ δέ, φησίν, αἱ τοιαῦται ὀσμαὶ αἱ ὀσφρανταὶ ἐπὶ τοῖς τροφίμοις χυμοῖς κοιναὶ πάντων 〈τῶν〉 ζῴων· πάντα γὰρ τρέφεται καὶ πάντα τῆς ἐπὶ τροφῇ ὀσμῆς αἴσθησιν ἔχει. Ἄλλο δέ φησιν εἶδος ὀσμῶν εἶναι, ἐν ᾧ οὐκέτι κατὰ συμβεβηκὸς οὐδὲ ἀπὸ τοῦ τροφίμου χυμοῦ τὸ ἡδύ, ἀλλὰ καθ' αὑτό. τοῦτο δέ ἐστιν ὃ μὴ ἐπὶ ταῖς τροφαῖς μηδὲ ἀπὸ τοῦ τοιούτου χυμοῦ γίνεται μηδὲ παρακαλεῖ ἡμᾶς ἐπὶ τὰς τροφάς. τοιαῦται δ' εἰσὶν αἱ ἀπὸ τῶν ἀνθῶν ὀσμαί, αἳ οὐδὲν συμβάλλονται πρὸς τὴν τῆς τροφῆς ἐπιθυμίαν, ἀλλ' ὁμοίως καὶ πεπληρωμένοις αὐτῆς καὶ μή εἰσιν ἡδεῖαι. τοῦ δὲ 〈προσβιβάζειν〉 μηδὲν τὰς τοιαύτας εἰς τροφὴν συμβάλλεσθαι τῶν ὀσμῶν, ἀλλὰ μᾶλλον ἀβρώτους τοὺς χυμοὺς ποιεῖν, ἐμνημόνευσε Στράτιδος τοῦ κωμικοῦ, ὃς σκώπτων Εὐριπίδην ἐπὶ τῇ τῶν ἐπῶν ἀκαιρίᾳ εἶπεν· ὅταν φακῆ ἕψηται, μὴ ἐπιχεῖν μύρον, ὡς οὐδαμῶς τῶν μύρων εἰς τὸν τρόφιμον χυμόν τι συντελούντων, ἀλλὰ καὶ τοὐναντίον ἄτροφον αὐτὸν ποιούντων.

in Sens.97 ὅ τινάς φησιν ὑπὸ φιληδονίας καὶ τῆς περὶ τὰ μύρα σπουδῆς βιάζεσθαι καὶ τοῖς πόμασι παραμίγνυσθαι, μύρον τὸν ἀπὸ τῶν χυμῶν ἐκ συνηθείας πότιμον ποιοῦντας αὑτοῖς καὶ τὰς ἐκ

δύο αἰσθήσεων ἡδονάς, τήν τε ἀπὸ τῆς γεύσεως μίαν καὶ τὴν μίαν ἀπὸ τῆς ὀσφρήσεως γινομένην, ἐκδέχεσθαι βιαζομένους αὑτούς. τοῦτο δὴ τὸ ὀσφραντὸν οὐκέτι κοινὸν τοῖς ζῴοις φησὶν ἅπασιν εἶναι, ὡς τὸ ἀπὸ τῶν τροφίμων χυμῶν, ἀλλ’ ἴδιον ἀνθρώπου. Ἐκείνων μὲν οὖν τῶν ὀσμῶν διὰ τὸ κατὰ συμβεβηκὸς ἔχειν τὸ ἡδὺ διῃρῆσθαί φησι τὰ εἴδη κατὰ τοὺς χυμού ς , τῆς δὲ τοιαύτης ὀσμῆς οὐκέτι κατὰ τὴν ἐπὶ τοὺς χυμοὺς ἀναφορὰν τὰ εἴδη διῃρῆσθαι (οὐ γὰρ κατὰ συμβεβηκὸς ἐν αὐταῖς τὸ ἡδύ τε καὶ τὸ λυπηρόν), ἤτοι λέγων ἐκείνης μὲν τῆς ὀσμῆς εἴδη εἶναι, ὅτι καὶ τῶν χυμῶν τῶν ἐφ’ οἷς γίνονται, οἷς καὶ συνδιαιροῦνται, τῆς δὲ καθ’ αὑτὴν ἡδείας ὀσμῆς οὐκέτι εἴδη εἶναι, ὅτι μὴ ἔχουσιν οἷς συνδιαιροῦνται (προεῖπε γὰρ διοριστέον πῶς ἔστιν εἴδη τῶν ὀσμῶν καὶ πῶς οὐκ ἔστι ν) , ἢ μᾶλλον ὅτι ἐκείνης μὲν οὐκ ἔστιν εἴδη καθ’ αὑτά, ἀλλὰ κατὰ συμβεβηκός (καὶ γὰρ τὸ ἡδὺ ὅλως καὶ τὸ λυπηρόν, αἱ πρῶται καὶ μέγισται διαφοραί, κατὰ συμβεβηκός εἰσιν ἐν αὐτῇ, ἀλλ’ οὐ καθ’ αὑτά), ταύτης δὲ καθ’ αὑτὴν ἐχούσης τό τε ἡδὺ καὶ τὸ λυπηρὸν εἴη ἄν, καὶ ᾗ καθ’ αὑτά, πρῶτα μὲν ταῦτα, τὸ ἡδύ τε καὶ τὸ λυπηρόν (κατὰ γὰρ τὴν ἰδίαν φύσιν αὐταῖς ταῦτα ὑπάρχει), ἔπειτα τὰ ἄλλα ἐστίν, αἵτινες ἐν τῷ ἡδεῖ τε καὶ λυπηρῷ διαφοραί· εἰσὶ δὲ πολλαί, εἰ καὶ μή εἰσιν ὠνομασμέναι καθ’ αὑτάς.

in Sens.98 κατὰ γὰρ τὰς τῶν ἀνθῶν διαφορὰς πολλαὶ τῶν ὀσμῶν διαφοραὶ καὶ τὰς ἀπὸ τῶν μύρων τῶν τε αὐτοφυῶν καὶ τῶν σκευαστῶν. εἴδη οὖν λέγει τοῦ ὀσφραντοῦ δύο εἶναι, τό τε κατὰ τοὺς χυμοὺς τεταγμένον, ὃ καὶ τὸ ἡδὺ καὶ τὸ λυπηρὸν τῇ πρὸς τούτους ἀκολουθίᾳ ἔχει (διὸ καὶ κατὰ συμβεβηκός· οὐ γάρ, καθὸ ὀσμαί, τὸ ἡδύ, ἀλλὰ καθὸ τοιούτων χυμῶν μηνυτικαί, ὃ μόνον τινὲς ἡγούμενοι εἶναι ἐν ταῖς ὀσμαῖς εἶδος τὸ τὴν ἀκολουθίαν ἔχον τὴν πρὸς τοὺς χυμοὺς οὐκ ἔλεγον εἶναι πλείονα εἴδη τοῦ ὀσφραντοῦ)· τὸ δέ τι εἶδός ἐστι τῶν ὀσφραντῶν τὸ ἐν ᾧ καθόλου τὸ ἡδὺ καὶ τὸ λυπηρόν [τῶν ὀσμῶν] ἐστιν, οὐ κατὰ συμβεβηκὸς οὐδὲ κατὰ τὴν ἐπὶ τοὺς χυμοὺς ἀναφοράν. ὥστε δύο εἴδη ὀσμῆς, ἀλλ’ οὐχ, ὡς ᾤοντό τινες, ἓν μόνον. Εἰπὼν δὲ τὰς ἀπὸ τῶν τοιούτων ὀσμὰς ἀνθρώπου ἰδίας εἶναι, ἑξῆς καὶ τὴν αἰτίαν τούτου προστίθησι· τῷ γὰρ ψυχρὸν εἶναι τὸν ἐγκέφαλον, ὃν πλεῖστον κατὰ ἀναλογίαν παρὰ τὰ ἄλλα ζῷα ἔχειν τὸν ἄνθρωπον, καὶ διὰ τοῦτο ψυχρότερα τὰ περὶ τὸν ἐγκέφαλον ἔχειν μέρη. καὶ γὰρ τὸ περὶ αὐτὸν αἷμα ἐν στενοῖς ὂν φλεβίοις λεπτὸν μὲν καὶ καθαρόν ἐστιν, ἵνα ὦμεν εὐαίσθητοι, εὔψυκτον δὲ διά τε λεπτότητα καὶ ὀλιγότητα· διὸ δεῖσθαι ἔξωθέν τινος ἐπικουρίας πρὸς τὴν τῶν μερῶν τούτων ψυχρότητα. διὰ τοῦτο γὰρ γίνεσθαι καὶ τὰ ῥεύματα ἀπὸ τῆς κεφαλῆς τοῖς ἀνθρώποις, τῆς ἀναφερομένης ἐπὶ ταῦτα τὰ μέρη ἀναθυμιάσεως ψυχομένης τε καὶ συνισταμένης καὶ ἐπιρρεούσης τοῖς ἐντός. τὴν δὴ φύσιν πρὸς τὴν τῆς ὑγείας βοήθησιν τὸ τοιοῦτον εἶδος τῆς ὀσμῆς ἐπιμηχανήσασθαι θερμότητος χάριν τῶν αὐτόθι μερῶν. οὐδὲν γὰρ ἄλλο ἔργον τῆς τοιαύτης ὀσμῆς ἢ τὸ θερμαίνειν τε καὶ διαχεῖν τοὺς περὶ τὸν ἐγκέφαλον ψυχροτέρους ὄντας τόπους καὶ εἰς τὸ σύμμετρον ἄγειν· αἱ γὰρ τοιαῦται ὀσμαὶ τῇ αὑτῶν φύσει εὐώδεις τε καὶ ἡδεῖαι· ξηραὶ γὰρ καὶ διακεκριμέναι μαλακῷ καὶ ἡδεῖ τῷ θερμῷ, καὶ ὅσῳ ἂν μᾶλλον ὦσι κατειργασμέναι τῷ θερμῷ, τοσούτῳ εὐωδέστεραι.

in Sens.99 ὅλως μὲν γὰρ αὐτοῖς εὐωδία διὰ τὴν ὑπὸ τοῦ θερμοῦ πέψιν 〈τοῦ〉 ἐν αὐτοῖς ὑγροῦ. διὰ τοῦτο γοῦν τὰ ἐν τοῖς θερμοῖς τε καὶ ξηροῖς τόποις εὐωδέστερα, καὶ ἡ θερμή τε καὶ ξηρὰ γῆ, ὅταν πρῶτον ὕδωρ δέξηται, εὐώδης διὰ τὴν ἐνυπάρχουσαν αὐτῇ θερμότητα· λεπτοὶ γὰρ καὶ ξηροὶ οἱ ἀπ’ αὐτῆς χυμοὶ τότε. αἱ δὲ ἀηδεῖς καὶ μοχθηραὶ τῶν ὀσμῶν διὰ ψυχρότητα καὶ ἀπεψίαν γίνονται τοῦ ἐνυπάρχοντος ὑγροῦ τῶν ἀφ’ ὧν αἱ ὀσμαί. ὅτι δὲ ὑγιείας χάριν αἱ ἀπὸ τούτων ὀσμαὶ δέχονται τοῖς ἀνθρώποις ὑπὸ τῆς φύσεως καὶ οὐδενὸς ἄλλου, ἔδειξε διὰ τοῦ τὰς μὲν ἐπὶ τοῖς χυμοῖς ἡδείας ὀσμάς, ἃς κατὰ συμβεβηκὸς εἶπε, πολλάκις νοσώδεις εἶναι (πληροῦσι γὰρ τὰς κεφαλὰς αἱ ποτῶν τέ τινων καὶ βρωμάτων ὀσμαί)· ἡ δὲ ἀπὸ τῶν τοιούτων ἡδεῖα ὀσμὴ ἀεὶ σχεδὸν καὶ ὁπωσοῦν ἔχουσιν ὑγιεινή τε καὶ ὠφέλιμος · καὶ γὰρ ἐν ταῖς λοιμώδεσιν ἡ ἀπὸ τούτων ὀσμὴ ὑγιεινοτέρους πεπίστευται φυλάσσειν. Εἰπὼν δὲ ἴδιον ἀνθρώπου τὸ τῶν ὀσμῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτων ἀντιλαμβάνεσθαι, πῶς ἴδιον ἐδήλωσεν· οὐ γὰρ ὅτι μόνον, ἀλλ’ ὅτι μάλιστα, ἐπεὶ καὶ τῶν ἐναίμων τινά φησι τῆς τοιαύτης ὀσμῆς αἴσθησιν ἔχειν, ὡς τὰ τετράποδα καὶ ὅσα ἀναπνεῖ (ταῦτα γὰρ λέγοι ἂν μετέχειν μᾶλλον τῆς τοῦ ἀέρος φύσεω ς) . ἀναφερομένων γὰρ τῶν ὀσμῶν διὰ τῆς ἀναπνοῆς πρὸς τὸν ἐγκέφαλο ν , διὰ τὴν ἀπ’ αὐτῶν θερμότητα καὶ κουφότητα ὑγιεινότερον διατίθεται ταῦτα τὰ μέρη. ἡ γὰρ εὐώδης ὀσμή, καθάπερ εἰρήκαμεν, θερμὴ τὴν φύσιν · καὶ γὰρ ἡ γένεσις αὐτῶν τοιαύτη. ὥσπερ δὲ ἐπ’ ἄλλων τινῶν ἡ φύσις τῷ αὐτῷ πρὸς πλείω χρῆται (τῇ γοῦν γλώττῃ καὶ ἐπὶ τῇ τῶν χυμῶν διακρίσει καὶ ἐπὶ τῇ τῆς φωνῆς τε καὶ τοῦ λόγου προφορᾷ ἐπὶ τῶν ἀνθρώπων φανερῶς φαίνεται χρωμένη), οὕτω φησὶ καὶ τῇ ἀναπνοῇ [ὅτι τῶν ἀναπνεόντων] πρὸς δύο αὐτὴν χρῆσθαι, ὡς μὲν ἔργῳ καὶ προηγουμένως τε καὶ εἰς σωτηρίαν μάλιστα τῶν ἀναπνεόντων συντελοῦντι πρὸς τὴν ἔμψυξιν τὴν ἐν τῷ θώρακι, ἣ γίνεται ὑπὸ τοῦ ἀναπνεομένου ἀέρος, ὡς παρέργῳ δὲ καὶ δευτέρως ἐπὶ τὴν ὀσμήν · ἀναπνεόντων γὰρ ὥσπερ ἐν παρόδῳ τὸ πνεῦμα κινοῦν καὶ ἀνοῖγον τὰ δι’ ὧν ἡ ὀσμὴ γίνεται αἴτιον τῆς ὀσφρήσεως γίνεται.

in Sens.100 Μάλιστα δὲ ἴδιον τῶν ἀνθρώπων φησὶ τὸ τοιοῦτον εἶδός τε καὶ γένος τῶν ὀσμῶν εἶναι, καὶ μάλιστα τὸν ἄνθρωπον χαίρειν ταῖς ἀπὸ τῶν τοιούτων ὀσμαῖς διὰ τὸ πλεῖστόν τε τὸν ἄνθρωπον ἐγκέφαλον ἔχειν κατ’ ἀναλογίαν τῶν ἄλλων ζῴων καὶ διὰ τοῦτο ψυχρότερα ἔχειν τὰ περὶ αὐτὸν μέρη καὶ μάλιστα δεόμενα τῆς θύραθεν ἐπικουρίας. τοῖς δ’ ἄλλοις φησὶ τῶν ζῴων ὅσα ἀναπνεῖ μὲν τῷ πνεύμονα ἔχειν καὶ δεῖται τῆς διὰ τοῦ ἀέρος τοῦ ἀναπνεομένου ἐμψύξεως καὶ ἀναπνέοντα ὀσφρᾶται, οὐκ αἰσθάνονται δὲ [τῶν δὲ] ἄλλων τινῶν ὀσμῶν ἢ τῶν ἀπὸ τῶν τροφίμων χυμῶν, καὶ τούτοις, ἐπεὶ ὅλως ἀναπνεῖν αὐτοῖς, τὴν αἴσθησιν τῆς ὀσμῆς ἡ φύσις ἀπέδωκε ν , ὅπως μὴ δύο αἰσθητήρια ποι ῇ , ἓν μὲν δι’ οὗ ἡ ἀναπνοή, ἕτερον δὲ δι’ οὗ ἡ ὀσμή· αἰσθητήριον εἰπὼν καὶ τὸ ἀναπνευστικόν. ὡς γὰρ τοῖς ἀνθρώποις διὰ τῆς ἀναπνοῆς τὸ διττὸν εἶδος τῶν ὀσμῶν αἰσθητόν, οὕτως ἐκείνοις τὸ ἕτερον, τὸ ἀπὸ τοῦ τροφίμου χυμοῦ, οὗ καὶ μόνου εἴδους ἡ ὀσμὴ αἰσθάνεται. Τὰ δὲ μὴ ἀναπνέοντα τῶν ζῴων ὅτι μὲν ὀσφρᾶται, δῆλον (ἔρχεται γὰρ ἐπὶ τὴν τροφὴν πόρρω οὖσαν καὶ τὸ τῶν ἰχθύων γένος καὶ τὰ ἔντομα)· δι’ οὗ δέ, οὐ δῆλον. p. 444b5 Ἀπόχρη γά ρ , ἐπείπερ καὶ ὣς ἀναπνέουσι ν . Ἐπεὶ καὶ τὰ τοῦ ἑτέρου τῶν ὀσμῶν εἴδους αἰσθανόμενα ἀναπνεῖ, ἤρκει αὐτοῖς ἡ ἀναπνοὴ καὶ πρὸς τὴν τῶν ὀσφραντῶν, ὧν ὀσφρᾶται, ἀντίληψιν.

in Sens.101 τὸ δὲ εἰς τὸ καὶ ὅλω ς , ὥσπερ τοῖς ἀνθρώποις ἀμφοτέρων τῶν ὀσφραντῶ ν , τούτοις μόνον τῶν ἑτέρων ὑπάρχουσα ἡ αἴσθησις ἀπὸ κοινοῦ εἴρηται τοῦ ἀπόχρ η . καὶ φέρεται ἔν τισιν ἀντιγράφοις ἡ γραφὴ χωρὶς τοῦ καὶ ὅλω ς , καὶ ἔστιν οὕτως ἔχουσα καταλληλοτέρα καὶ φανερώτερον ἔχουσα ἡ γραφή. p. 444b15 Διὸ κἂν ἀπορήσειέ τι ς , τίνι αἰσθάνονται τῆς ὀσμῆ ς . Δείξας ὅτι καὶ τῶν μὴ ἀναπνεόντων ζῴων τινὰ τῆς ἐπὶ τῇ τροφῇ ὀσμῆς αἰσθάνεται (πόρρωθεν γὰρ ἐπ’ αὐτὴν ἔρχεται ὕποσμα γενόμενα), ἀπορεῖ, μήποτε ἄρα ἄλλην τινὰ αἴσθησιν παρὰ τὴν ὄσφρησιν ἔχει. ἡ γὰρ ὄσφρησις ἀναπνεόντων γίνεται, οὐκ ἀναπνεῖ δὲ ταῦτα. δόξαι ἂν 〈οὖν〉 μηδ’ ἔχειν τὴν ὄσφρησιν ταύτην, ἀλλά τιν’ ἄλλην παρὰ τὰς πέντε αἰσθήσει ς , ᾗ αἰσθάνεται ἐκεῖνα τῶν ὀσφραντῶν. ὃ ἀπορήσας ἐπιφέρει ἀδύνατον λέγων εἶναι τὸ ἄλλην τινὰ αἴσθησιν ἔχειν αὐτὰ παρὰ τὰς πέντε, καὶ προστίθησι τὴν αἰτίαν τούτου· τοῦ γὰρ ὀσφραντοῦ ἡ αἴσθησις ὄσφρησίς ἐστι, καὶ οὐκ ἄλλη τις. ὥστε καὶ ταῦτα τούτων αἰσθάνεται ὀσφρῆσαν αὐτῶν. αἰσθάνοιτο δ’ ἂν ἡ ὄσφρησις 〈οὐ〉 τὸν αὐτὸν τρόπον πᾶσιν, ἀλλὰ τοῖς μὲν ἀναπνέουσι διὰ τοῦ ἀναπνεομένου ἀέρος ἀφαιροῦντος τὸ τῷ ὀσφραντικῷ πόρῳ ἐπικείμενον ὥσπερ πῶμα καὶ ἢ ἀποκαλύπτοντος αὐτὰ ἢ ἐπεγείροντός τε καὶ ἀνευρύνοντος· διὸ μηδὲ δύνασθαι τὰ ἀναπνευστικὰ τῶν ζῴων ἄλλως ὀσμῶν ἀντιλαμβάνεσθαι, εἰ μὴ ἀναπνέοι. Οὐ γὰρ ὅπου φέρεται τὸ ἀναπνεόμενον πνεῦμα, ἐκεῖ καὶ αἱ ὀσμαί, ἀλλ’ ἐν τῇ παρόδῳ τὸ πνεῦμα τὸ ἀναπνεόμενον τὸ μόριον τοῦτο ἐπιτήδειον πρὸς τὴν οἰκείαν ἐνέργειαν ποιεῖ. ὅτι γὰρ μὴ ἐκεῖ, ὅπου φέρεται τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναπνεόμενον πνεῦμα, αἱ ὀσφρήσεις, δῆλον ἐκ τοῦ ἀναπνεῖν ἡμᾶς καὶ τῷ στόματι, φέρεσθαι δὲ καὶ τοῦτο τὸ ἀναπνεόμενον διὰ τοῦ στόματος ὅπου καὶ τὸ διὰ τῶν ῥινῶν, μηδένα δὲ τῷ στόματι ἀναπνέοντα ὀσφραίνεσθαι, ὡς τῆς διὰ τῶν ῥινῶν ἀναπνοῆς παρ' ἐκείνους τοὺς πόρους τοὺς ὀσφραντικοὺς γινομένης.

in Sens.102 τὰ μὲν οὖν ἀναπνέοντα ἐπικεκαλυμμένον ἔχοντα τὸ μόριον τοῦτο δεῖται τοῦ ἀποκαλύψοντος αὐτό, ὃ ποιεῖ τὸ διὰ τῶν ῥινῶν ἀναπνεόμενον πνεῦμα ἐν τοῖς τῶν ζῴων ἀναπνευστικοῖς· τῶν δὲ μὴ ἀναπνεόντων ἀσκέπαστον ἂν εἴη τοῦτο καὶ ἀνεῳγμένον καὶ οὐ δεόμενον τοῦ ἀνοίξοντος αὐτὸ πνεύματος. οὐδὲν γὰρ ἄτοπον τοιαύτην διαφορὰν ἔχειν τὰ ζῷα τὰ ὀσφραινόμενα περὶ τὸ ὄργανον τῆς ὀσφρήσεως, ὁποίαν ἔχοντα ὁρᾶται. καὶ γὰρ τούτων καὶ περὶ τὴν ὄψιν τὰ μὲν ἔχει βλέφαρ α , ὧν μὴ ἀποκαλυφθέντων οὐχ οἷόν τέ ἐστιν ὁρᾶν, τὰ δὲ οὐκ ἔχει οὐδὲν ἐπικάλυμμα, ὥσπερ τὰ σκληρόφθαλμα· διὸ οὐδὲ δεῖταί τινος τοῦ ἀποκαλύψοντος αὐτά, ἀλλ' ἄνευ ταύτης τῆς βοηθείας ὁρᾶται τὰ ὁρατὰ αὐτοῖς. p. 444b28 Ὁμοίως δὲ καὶ τῶν ἄλλων ζῴων ὁτιοῦν οὐδὲν δυσχεραίνει τῶν κα θ ' αὑτὰ δυσωδῶ ν . Διελόμενος τὰ ὀσφραντὰ εἰς εἴδη δύο καὶ τὰ μὲν τῷ τροφίμῳ χυμῷ ἀκολουθεῖν εἰπών, ἐν οἷς ἔδειξε κατὰ συμβεβηκὸς οὖσαν τήν τε ἡδεῖαν ὀσμὴν καὶ τὴν λυπηράν (τῇ γὰρ ἐπὶ τὴν τροφὴν ἀναφορᾷ), ὧν καὶ πάντα τὰ ὄσφρησιν ἔχοντα τῶν ζῴων αἰσθάνεται, τὰ δὲ καθ' αὑτὰ δείξας τό τε ἡδὺ καὶ τὸ λυπηρὸν ἔχοντα, ὧν μόνον τὸν ἄνθρωπον ἀντιλαμβάνεσθαι διὰ τὸ καὶ δεῖσθαι μάλιστα τοῦτον τῆς ἀπὸ τῶν τοιούτων εὐωδίας θερμῆς οὔσης τὴν φύσιν καὶ ἐπικουρούσης τῇ περὶ τὸν ἐγκέφαλον ψυχρότητι πλείονι οὔσῃ ἐν τοῖς ἀνθρώποις διὰ τὸ καὶ πλείονα καὶ ὑγρότερον τῶν ἄλλων ζῴων κατὰ ἀναλογίαν τοῦ μεγέθους τοῦ σώματος ἐγκέφαλον αὐτὸν ἔχειν, καὶ εἰπὼν τῶν καθ' αὑτὰς ἡδειῶν ὀσμῶν, ὅσαι ἀπὸ τῶν ἀνθῶν, τὰ ἄλλα ζῷα μὴ αἰσθάνεσθαι, εἰ μὴ καὶ τρόφιμα αὐτοῖς εἴη, νῦν προστίθησιν ὅτι οὐδὲ τῶν ἀντικειμένων ταῖς ἁπλῶς ἡδείαις ὀσμαῖς δυσωδῶν, αἵτινες καὶ αὐταὶ καθ' αὑτὰς ἀηδεῖς ὡς ἐκεῖναι ἡδεῖαι, οὐδὲν τῶν ἄλλων ζῴων αἰσθάνεται.

in Sens.103 οὔτε γὰρ τῶν καθ' αὑτὰ ἡδειῶν αἴσθησιν ἔχει οὔτε τῶν ἀηδῶν, εἰ μὴ εἴη, τί φησι, τῶν καθ' αὑτὰ ἀηδῶν τε καὶ δυσωδῶν τινα φθαρτικὰ αὐτῶν. ὡς γὰρ τῶν τροφίμων καὶ σωστικῶν καὶ κατὰ συμβεβηκὸς ἡδειῶν ὀσμῶν αἰσθάνεται, οὕτω καὶ 〈τῶν〉 φθαρτικῶν ἑαυτῶν, αἳ πάλιν αὐτοῖς κατὰ συμβεβηκός εἰσιν ἀηδεῖς, διότι φθείρουσιν αὐτά. Ἑξῆς δὲ πῶς οἷόν τε φθείρεσθαι αὐτὰ ὑπὸ ὀσμῶν. τινων λέγει. ὡς γὰρ οἱ ἄνθρωποι ὀσφραινόμενοι τῶν ἀνθράκων οὐχ ὑπὸ τῆς ὀσμῆς αὐτῆς, ἀλλ' ὑπὸ τῆς 〈ἀπ'〉 αὐτῶν φερομένης ἀτμίδος διὰ τῆς ἀναπνοῆς καρηβαροῦσί τε καὶ φθείροντα ι , οὕτω κἀκεῖνα ὑπό τε τῆς τοῦ θείου ἀναθυμιάσεως καὶ τῆς ἐν αὐτῷ δυνάμεως καὶ ὑπὸ τῆς τῶν ἀσφαλτωδῶν φθείρεται · διὸ καὶ φεύγειν δοκεῖ τὴν ἀπ' αὐτῶν ὀσμήν. οὕτω καὶ οἱ ὄφεις κερατίων θυμιωμένων (τοιαύτη καὶ ἡ βοτάνη ἣν πόλιον λέγουσιν), οὐ καθὸ δυσώδη ἐστὶ φεύγοντες τὴν ἀπ' αὐτῶν ὀσμήν, ἀλλὰ καθόσον ἐστὶν αὐτῶν φθαρτικά. εἰκότως δὲ περὶ αὐτῶν ἐποιήσατο τὸν λόγον· ἐπειδὴ γὰρ δοκεῖ τινα τῶν ζῴων φεύγειν τινὰς δυσωδίας, αἵ εἰσιν οὐκ ἀπὸ τροφῆς ἀλλὰ καθ' αὑτάς, ἦν δὲ ἀκόλουθον τῷ φεύγοντι τὰς καθ' αὑτὰς ἀηδεῖς τὸ καὶ διώκειν τε καὶ αἰσθάνεσθαι τῶν καθ' αὑτὰς ἡδειῶν, ἔδειξεν ὅτι ταύτας, οὐχ ᾗ ἀηδεῖς ἁπλῶς, ἀλλ' ᾗ φθαρτικαὶ αὐτῶν, φεύγουσιν. ὥστε κἀκείνων [ἐστὶν] ἅστινας διώκοιεν, ὡς τροφίμους ἂν καὶ ἡδείας διὰ τὴν τροφὴν διώκοιεν. Σημεῖον δὲ παρέθετο τοῦ τὰς μὲν καθ' αὑτὰς δυσώδεις ὀσμὰς μὴ φεύγειν αὐτὰ τὸ πολλὰς τῶν βοτανῶν δυσώδεις οὔσας τὰ μὲν μὴ φεύγειν, τὰ δὲ καὶ νέμεσθαι, τὸ ἐν ταῖς ὀσμαῖς ἡδὺ καὶ λυπηρὸν τῷ τροφίμῳ μόνον καὶ τῷ φθαρτικῷ παραμετροῦντα.

in Sens.104 ταῦτα γὰρ αὐτοῖς ἡδέα μόνα τῶν ὀσφραντῶν, ἃ πρὸς γεῦσιν ἢ πρὸς τὴν τροφὴν ὅλως συμβάλλεταί τι. Ἀπορήσειε δ' ἄν τις εὐλόγως ἐκ τῶν νῦν εἰρημένων ὁρμώμενος, πῶς ἔν τε τῷ δευτέρῳ Περὶ ψυχῆς περὶ ὀσφρήσεως λέγων χειρίστην εἶπε τὸν ἄνθρωπον ταύτην ἔχειν τὴν αἴσθησιν, ἔν τε τῷ πρὸ ὀλίγου μέλλων περὶ τῶν χυμῶν λέγειν ἀποδιδοὺς αἰτίαν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναργεστέρους ἡμῖν τοὺς χυμοὺς εἶναι τῶν ὀσφραντῶν εἶπε· “τούτου δὲ αἴτιον ὅτι χειρίστην ἔχομεν τῶν ζῴων τὴν ὄσφρησιν καὶ τῶν ἐν ἡμῖν αὐτοῖς αἰσθήσεων.” πῶς γὰρ χειρίστην τῶν ἄλλων ζῴων, εἰ ἡμεῖς μὲν τῶν ἡδέων τῶν ἐν τοῖς ὀσφραντοῖς ἁπάντων αἰσθανόμεθα, τὰ δ’ ἄλλα μόνων τῶν ἑπομένων τῷ τροφίμῳ χυμῷ; ὅτι τούτων ὧν καὶ τὰ ἄλλα ζῷα ὀσφραίνεται ὀσμῶν, ἃς εἶπε κατὰ συμβεβηκὸς ἔχειν τὸ ἡδύ τε καὶ ἀηδές, χείριστα αἰσθανόμεθα. οὔτε γὰρ ἀπὸ διαστήματος ἴσου οὔτε ὁμοίως πληκτικῶς. ὡς εἰ καὶ τῶν ἄλλων ἐκεῖνα ᾐσθάνετο, καὶ ἐν ἐκείνοις ἂν ἐπλεονέκτει τὸν ἄνθρωπον· οὐκ αἰσθάνεται δὲ τὰ ἄλλα ἐκείνων, ὅτι μηδὲ δεῖται αὐτῶν. p. 445a4 Ἔοικε δὲ ἡ αἴσθησις ἡ τοῦ ὀσφραίνεσθαι περιττῶν οὐσῶν τῶν αἰσθήσεω ν . Διὰ τούτων δείκνυσιν ὅτι ἡ ὄσφρησις μεταξύ πώς ἐστι τῶν τε ἁπτικῶν αἰσθήσεων, αἵ εἰσιν ἁφή τε καὶ γεῦσις, καὶ τῶν διά τινος ἄλλου μεταξὺ γινομένων, οἷαί εἰσιν ἥ τε ὄψις καὶ ἡ ἀκοή. πάνυ δὲ γλαφυρῶς ἐπεχείρησε πρὸς τὸ μέσην αὐτὴν εἶναι· ἐπειδὴ γὰρ πᾶς ἀριθμὸς περισσὸς μέσον τι ἔχει, περιττὸς δὲ καὶ ὁ τῶν αἰσθήσεων ἀριθμός, διὰ τοῦτο εὔλογον καὶ ἐν ταῖς αἰσθήσεσιν οὔσαις περισσαῖς εἶναί τινα μέσην αἴσθησιν, καὶ ἔστιν αὐτῶν ὄσφρησις. πῶς δέ ἐστι μεταξὺ ἀμφοτέρων πως μετέχουσα λέγει· καθόσον μὲν γὰρ τὸ ὀσφραντὸν τῶν γευστικῶν χυμῶν ἐστι πάθος τι, οἵ εἰσι γευστοὶ καὶ διὰ τοῦτο ἁπτοί, κατὰ τοσοῦτον κοινωνοίη ἂν ταῖς δι’ ἁφῆς αἰσθήσεσιν, 〈ὅτι δι’ ἁφῆσ〉 αἰσθανόμεθά πως καὶ αὐτῶν τῶν γευστῶν.

in Sens.105 ἐν γὰρ τῷ ἁπτῷ γένει τὰ θρεπτικά· καὶ γὰρ ἡ γεῦσις ἐδείχθη ἐν τοῖς Περὶ ψυχῆς ἁφή τις οὖσα. μετέχει δὲ πάλιν καὶ κοινωνεῖ ταῖς διὰ μέσων τινῶν γινομέναις αἰσθήσεσιν, ὧν ἐστιν ἥ τε ὄψις καὶ ἡ ἀκοή, τῷ καὶ ταύτην δι’ ἀέρος καὶ ὕδατος γίνεσθαι, δι’ ὧν καὶ ἐκείνων ἡ ἀντίληψις. εἰπὼν δὲ τῷ ἀκουστ ῷ , ἀντὶ τοῦ προσθεῖναι ‘καὶ τῷ ὁρατῷ‘ εἶπε τῷ διαφανεῖ · διὰ γὰρ τοῦ διαφανοῦς τοῦ κατ’ ἐνέργειαν ἡ ὄψις. Εἰπὼν δὲ ταῦτα, προστίθησιν ὅτι ἄρα καὶ εὐλόγως ἐκ τοιούτων καὶ οὕτω γίνεσθαι τὰς ὀσμὰς εἰρήκαμεν· ἀμφότερα γὰρ ἐν τῷ λόγῳ περιέχεται, τά τε ἁπτὰ καὶ τὰ μεταξύ, δι’ ὧν αἱ ἄλλαι αἰσθήσεις. κεῖται γὰρ ἡμῖν ἡ ὀσμὴ γίνεσθαι ὑπὸ τῆς ἐγχύμου ξηρότητος (τοῦτο γὰρ προσυπακούειν δεῖ τῇ ξηρότητι) ἐν τῷ ὑγρ ῷ , οἷον βαφή τις καὶ πλύσις οὖσα. εἶπε δὲ εὐλόγως τὸ ‘παρεικάσθαι‘ διὰ τὴν βαφήν τε καὶ πλύσιν· οὐ γὰρ ἄντικρυς τοῦτο ἔστιν, ἀλλὰ μετενήνεκται ἀπὸ τῶν διὰ τῆς πλύσεως βαπτόντων τὸ ὑγρὸν ἐν τῷ πλύνοντι· οὐ γὰρ δὴ ἐν ἀέρι γίνεται πλύσις ἡ κυρίως λεγομένη. χυτὸν δὲ καὶ ὑγρὸν ἐκ παραλλήλου ἂν λέγοιτο· καὶ γὰρ τὸ ὕδωρ καὶ ὁ ἀὴρ ὑγρά τε καὶ χυτά. ἢ εἴη ἂν ὑγρὸν μὲν τὸ ὕδωρ, χυτὸν δὲ τὸν ἀέρα λέγων, ἐπειδὴ ἐξ ἀναθυμιάσεως ὁ ἀήρ, ἥτις χεομένων τῶν ἐξ ὧν ἡ μεταβολὴ εἰς τοῦτον γίνεται. χεῖται γὰρ ἐπὶ πλέον τὸ ὕδωρ εἰς ἀέρα μεταβάλλον τῷ ἀραιότερον εἶναι καὶ λεπτότερον τὸν ἀέρα. διὸ καὶ ἐπὶ μείζονος ὄγκου· μείζων γὰρ τὸν ὄγκον ὁ ἐκ τοῦ ἴσου ὕδατος ἀήρ. καθόσον μὲν οὖν ὑπὸ ξηρότητος ἡ γένεσις, αὕτη δὲ ἁπτή, κατὰ τοσοῦτον ἂν ἁπτόν τι ἔχοι· καθόσον δὲ ἐν ὑγροῖς γίνεται, δι’ ὧν ἥ τε ὄψις καὶ ἡ ἀκοή, κατὰ τοῦτο δὲ εἴη ἂν ταὐτὸν ἔχουσα τοῖς διὰ μέσου τινὸς ἐκτὸς ὄντος γινομένοις αἰσθητοῖς.

in Sens.106 p. 445a14 Πῶς μὲν οὖν εἴδη δεῖ λέγειν καὶ πῶς οὐ δεῖ τοῦ ὀσφραντο ῦ , ἐπὶ τοσοῦτον εἰρήσθ ω . Τουτὶ ὃ προέθετο. καὶ ἔστι τὸ εἰρημένον ἤτοι ὅτι εἴδη ταῦτα τῶν ὀσφραντῶν ἔχοι ἄν, ἅ ἐστιν ἀπὸ τῶν τροφίμων χυμῶν (ὅσα γὰρ εἴδη τῶν χυμῶν ἐκείνων, τοσαῦτα καὶ τῶν ὀσφραντῶν τῶν ἀπ’ αὐτῶν, οὐχ ἁπλῶς δέ, ἀλλὰ κατὰ συμβεβηκός· κατὰ γὰρ τὴν ἐπὶ τοὺς χυμοὺς ἀναφορὰν διαφέρειν λέγομεν καὶ τὰς ὀσμάς), τὰ δ’ ἁπλῶς ὀσφραντὰ καὶ καθ’ αὑτὰ ἡδέα ἢ λυπηρὰ οὐκέτι ἐκεῖνα εἰς εἴδη διαιρεῖται· ἢ μᾶλλον ὅτι ἐν ἐκείνοις οὐκ ἔστι τοῖς ὀσφραντοῖς εἴδη καθ’ αὑτά, ὅτι μηδὲ τὸ ἡδὺ καὶ τὸ λυπηρὸν τὴν ἀρχήν ἐστιν ἐν αὐτοῖς καθ’ αὑτά (τοῦτο γὰρ καὶ ἔλεγόν τινες), ἐν οἷς δὲ καθ’ αὑτὰ τό τε ἡδὺ καὶ τὸ λυπηρόν, ὧν εἶπε μόνον τὸν ἄνθρωπον αἰσθάνεσθαι, ἐν τούτοις ἂν εἴη καθ’ αὑτὰ καὶ εἴδη ὀσφραντῶν. τὸ γοῦν ἡδὺ καὶ λυπηρὸν ἐν τούτοις κατὰ τὴν τῶν ὀσφραντῶν φύσιν διακέκριται καὶ τῷ εἴδει ἀλλήλων διαφέρει. ἐφ’ ὧν μὲν γὰρ τὸ αὐτὸ τὸ νῦν μὲν ἡδὺ αὖθις καὶ λυπηρόν, οὐ κατ’ εἶδος ταῦτα ἀλλήλων διαφέρει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(ἀδύνατον γὰρ αὐτό τι αὑτοῦ τῷ εἴδει διαφέρειν)· ἐφ’ ὧν δὲ διῄρηται ταῦτα τῇ οἰκείᾳ φύσει, ταῦτα ἀνάγκη κατ’ εἶδος ἀλλήλων διαφέρειν. ὥστε εἰ μέν τις λαμβάνοι τὰς κοινὰς ὀσμὰς τοῖς ζῴοις (αὗται δέ εἰσιν αἱ ἀπὸ τῶν τροφίμων χυμῶν γινόμεναι), οὐκ ἂν εἴδη τῶν ὀσμῶν εἴ 〈η· εἰ δέ〉 τις λαμβάνοι 〈τὰσ〉 ἀνθρώποις ὡς ἰδίας ὑπαρχούσας, γίνοιτο ἀνάγκη τῶν ὀσμῶν. p.

in Sens.107 445a16 Ὃ δὲ λέγουσί τινες τῶν Πυθαγορείω ν , οὐκ ἔστιν εὔλογο ν . Τὴν μὲν δόξαν τὴν ὅτι τὰ ὀσφραντά τινα, καθὸ ὀσφραντά ἐστι, τρέφει, λέγει τῶν Πυθαγορείων εἶναι. ἤδη μέντοι καὶ ἰατροί τινες ἐγένοντο τῆς δόξης ταύτης. ὅτι δὲ μὴ εὔλογον τὴν ὀσμὴν τρέφειν δείκνυσι διὰ τοῦ δεῖν μὲν τὴν τροφὴν σύνθετον εἶναι (τοιαῦτα γὰρ καὶ τὰ κυρίως τρεφόμενα)· οὔτε γὰρ ἁπλοῦν τι σῶμα τρέφει οὔτε ἁπλῶς, ὡς εἶπε καὶ ἐν τοῖς Περὶ ψυχῆς· οὐδὲ γὰρ τὰ φυτὰ ὕδατι τρέφεται μόνῳ. καὶ τοῦ μὴ εἶναι τὴν τροφὴν ἁπλοῦν σημεῖον παρέθετο τὰ περιττώματα ὄντα καὶ ξηρὰ καὶ ὑγρά. ἐπὶ μὲν οὖν τῶν ζῴων δηλόνοτι τὰ περιττώματα ταῦτα ἐντὸς γινόμενα οὕτως ἐκκρίνεται, ἐπὶ δὲ τῶν φυτῶν ἔξω φησὶ γίνεσθαι τὰ περιττώματα. εἴη δ’ ἂν τὸ ἐπ’ ἐκείνων περίττωμα ἤτοι τὸ δάκρυον τὸ ἀπορρέον ἀπ’ αὐτῶν ἢ καὶ ἡ πρὸς ταῖς ῥίζαις εὑρισκομένη τεφρώδης καὶ γεώδης σύστασις· καὶ ἡ τῶν φύλλων ἔξω γινομένη μεταβολὴ εἰς γεώδη σύστασιν περιττωματική· ἀλλὰ καὶ ὁ φλοιὸς ἐν αὐτοῖς τοιοῦτον. καὶ ἡ πέψις δὲ τῶν καρπῶν ἐκτὸς αὐτῶν γίνεται, καὶ οὐχ ὥσπερ τοῖς ζῴοις ἐντός· εἶεν δ’ ἂν καὶ πεσσομένων τῶν καρπῶν αἱ ἀποκρίσεις αἱ γινόμεναι ἐκτὸς αὐτῶν γινόμεναι. εἰ δὴ οὐχ ἁπλοῦν μὲν σῶμα ἡ τροφή, τὸ δὲ ὕδωρ ἁπλοῦν καὶ ὁ ἀήρ, δι’ ὧν ἡ ὄσφρησις γίνεται, οὐκ ἂν εἴη τοῖς ὀσφραντοῖς τρεφόμενά τινα· ἁπλοῦν γὰρ ἀέρα οἷον ἀναπνέοντες καὶ ὀσφραινόμενοι δέχονται. τούτοις δὲ προστίθησιν ὅτι μηδὲ τὸ ὕδωρ (ἁπλοῦν δὲ τὸ ὕδωρ μόνον ἄμικτον ὂν ἄλλοις τισί) τροφὴ γίνεται τῷ [δὲ] δεῖν μὲν τὴν τροφὴν σύστασίν τινα ἐν τῇ θρέψει τε καὶ κατεργασίᾳ λαμβάνειν, μὴ δύνασθαι δὲ αὐτὸ καθ’ αὑτὸ τὸ ὕδωρ συνίστασθαι· δεῖ γὰρ παχύτητά τινα ἔχειν σωματώδη τὸ συστησόμενον καὶ διὰ πέψεως μεταβληθησόμενον. διὸ καὶ κόπρον παραμιγνύουσιν οἱ γεωργοὶ καὶ ἀναταράσσουσι ταύτῃ ὑδρεύοντες τὰ φυτά· οὐδὲ γὰρ ἄλλως πρέμνον ἂν ἢ ῥίζα ἢ φλοιὸς ἢ καρπὸς γένοιτο.

in Sens.108 εἰ δὲ μηδὲ τὸ ὕδωρ μόνον τρέφειν οἷόν τε, ἧττον ἔτι ὁ ἀὴρ τρέφοι ἄν· λεπτότερος γὰρ οὗτος καὶ ἧττον σωμάτων σύστασιν δεχόμενος. τὰ δὲ πλεῖστα τῶν ὀσφραινομένων διὰ τούτου ὀσφρᾶται. εἴη δ’ ἂν ἡ ἐπιχείρησις κατὰ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον. p. 445a23 Πρὸς δὲ τούτοις ὅτι πᾶσίν ἐστι τοῖς ζῴοις τόπος δεκτικὸς τῆς τροφῆ ς . Καὶ διὰ ταύτης τῆς ἐπιχειρήσεως δείκνυσιν ὅτι μὴ τῇ ὀσμῇ τρέφεταί τινα ζῷα. πᾶσι γὰρ τοῖς ζῴοις ἐστί τις τόπος ἀποκεκριμένος ἐν τῷ σώματι, εἰς ὃν δέχεται τὴν τροφήν. οὗτος δέ ἐστιν ἡ κοιλία· αὕτη γὰρ ὑποδέχεται τὴν πρώτην τροφήν, ἐξ ἧς καὶ κατὰ μεταβολὴν πᾶν τὸ σῶμα τὴν χορηγίαν ἔχει, πρώτης τῆς καρδίας πεττούσης τὸ αἷμα καθαρῶς καὶ χορηγούσης αὐτὸ τοῖς ἄλλοις μέρεσιν. εἰ δὴ ἡ μὲν κοιλία δεκτικὴ τῆς τροφῆς (ἀπὸ ταύτης γὰρ ἡ χορηγία καὶ ἡ μεταβολή τε καὶ ἀνάδοσις τῆς τροφῆς τοῖς τρεφομένοις), τὸ δὲ πνεῦμα καὶ ἡ ὀσμὴ οὐκ εἰς τὴν κοιλίαν ἔρχεται, οὐκ ἂν εἴη τῶν τρεφόντων τοῦτο· ὅτι δὲ μὴ εἰς τὴν κοιλίαν ἡ ὀσμὴ μηδὲ ἔνθα ἡ τροφή, ἔδειξεν ἀπό τε τοῦ τὸ τῆς ὀσφρήσεως αἰσθητήριον περὶ τὴν κεφαλὴν εἶναι καὶ γίνεσθαι τὴν ὄσφρησιν μετὰ πνεύματος καὶ τοιαύτης ἀναθυμιάσεως· τὸ δὲ πνεῦμα τὸ ἀναπνεόμενον οὐκ εἰς κοιλίαν οὐδὲ ἔνθα ἡ τροφὴ φέρεται, ἀλλ’ εἰς τὸν πνεύμονα. ὥστε εἴτε εἰς τὴν κεφαλήν, ἔνθα τὸ αἰσθητήριον τῆς ὀσφρησέως, φέροιτο, εἴτε εἰς πνεύμονα, ἔνθα τὸ ἀναπνεόμενον πνεῦμα, οὐκ ἂν εἴη τῶν τρεφόντων. εἰ δέ τινα τῶν ζῴων ἐκλυόμενά ποτε ὑπό τινων ὀσμῶν ἐπανίσταται, οὐκ ἂν εἴη σημεῖον τοῦτο τοῦ τρέφεσθαι. οὐ γὰρ μόνον ἡ τροφὴ ἐπανίστησιν ἀλλ’ οὐδὲ ἡ ὀσμὴ μόνη, ἀλλὰ καὶ τοῦ ψυχροῦ ὕδατος πρόσκλυσις τονώσασα, καὶ ἂν πληγῇ τις· ἃ οὐδεὶς 〈ἂν〉 εἴποι τρέφειν. Ἀλλ’ ὅτι μὲν τὸ ὀσφραντόν, καθὸ ὀσφραντόν ἐστιν, οὐ τρέφει, δῆλον εἶναί φησι.

in Sens.109 προσέθηκε δὲ τὸ ᾗ ὀσφραντό ν , ἐπεὶ κατὰ συμβεβηκὸς δύναται καὶ τὸ ὀσφραντὸν τρέφειν· τῇ γὰρ τροφῇ συμβέβηκεν ὀσφραντῇ εἶναι, ὡς προείρηται. ὅτι μέντοι τὰ ὀσφραντὰ τὰ ἁπλῶς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ ἑαυτῶν φύσει τοιαῦτα εἰς ὑγίειαν συμβάλλεται τοῖς ἀνθρώποις, καὶ διὰ τῆς αἰσθήσεώς φησιν εἶναι γνώριμον· ὑγιεινότερον γὰρ διάγουσιν οἱ ἐν ταῖς τοιαύταις ὀσμαῖς ἀναστροφὰς ποιούμενοι καὶ ἧττον ἁλίσκονται πάθεσί τισιν, ὡς γνώριμον γίνεται μάλιστα ἐν τοῖς λοιμώδεσι καταστήμασιν. ἀλλὰ καὶ ἐκ τῶν εἰρημένων δῆλον τοῦτο· ἥ τε γὰρ τῶν τοιούτων εὐωδία διὰ θερμότητα εὔκρατος, δι' ἣν καὶ ὑφ' ἧς ἡ πέψις ἡ ἐν αὐτοῖς, καὶ ὁ περὶ τὴν κεφαλὴν τόπος, μάλιστα τοῖς ἀνθρώποις ψυχρὸς ὢν διὰ τὴν τοῦ ἐγκεφάλου ὑγρότητα καὶ δεόμενος τοιαύτης ἐπικουρίας. καὶ ἔστι, φησίν, ἀνάλογον ὡς ὁ χυμὸς πρὸς τὸ θρεπτικὸν καὶ τὰ τρεφόμενα ἀναπληρῶν αὐτῶν τὴν κατὰ τοῦτο ἔνδειαν τῇ προσκρίσει, οὕτω τὸ ὀσφραντὸν πρὸς ὑγίειαν · πάλιν γὰρ αὖ τοῦτο εἰς τὴν ὑγίειαν συντελοῦν ἀναπληροῖ τῇ οἰκείᾳ θερμότητι τὴν περὶ τὴν κεφαλὴν πλεονάζουσαν ψυχρότητα. p. 445b3 Ἀπορήσειε δ ' ἄν τι ς , εἰ πᾶν σῶμα εἰς ἄπειρον διαιρεῖτα ι , ἆρα καὶ τὰ παθήματα τὰ αἰσθητ ά ; Εἰπὼν περί τε τῶν αἰσθητηρίων καὶ περὶ τῶν ἑκάστῃ αἰσθήσει ὑποκειμένων αἰσθητῶν, τίνα ποτὲ ὄντα ἐστὶν αἰσθητά (περὶ γὰρ τοῦ ἁπτοῦ αἰσθητοῦ, ὅτι γὰρ σύγκριμα τούτου ὄψεσι τοῦτο, ἐν τοῖς Περὶ ψυχῆς εἴρηται· διὸ νῦν τὸν περὶ αὐτοῦ παρείασε λόγον), ἀπορεῖ τινα ἀπορίαν ἠρτημένην τῶν αἰσθητῶν. ζητεῖ γὰρ εἰ, ὥσπερ τὰ σώματα ἐπ' ἄπειρον τέμνεται, οὕτω καὶ τὰ ἐν αὐτοῖς πάθη 〈τὰ〉 αἰσθητά. ἔστι δὲ τὰ αἰσθητὰ πάθη τῶν σωμάτων χρώματα, χυμοί, ὀσμαί, ψόφοι, βάρη κουφότητες, θερμότητες ψυχρότητες, ὑγρότητες ξηρότητες, μαλακότητες σκληρότητες, καὶ ὅσαι ἄλλαι ἁπταὶ ἐναντιώσεις.

in Sens.110 πάντα γὰρ ταῦτα αἰσθητὰ ὄντα πάθη τῶν σωμάτων ἐστίν· ἐκείνοις γὰρ συμβέβηκεν. ἀπορεῖ δή, πότερον καὶ ταῦτα συνδιαιρεῖται τοῖς σώμασι καὶ ἐπ' ἄπειρόν ἐστι διαιρετὰ ἢ ἵσταται ἡ τούτων τομὴ καὶ τέμνεται τὰ σώματα εἴς τινα, ἃ οὐκέτ' ἔχει πάθη ταῦτα, ἃ αἰσθητά ἐστί τε καὶ λέγεται. ἀπορεῖ δὲ περὶ τούτου, διότι δοκεῖ ἑκατέρου ὑποτεθέντος ἄτοπόν τι ἕπεσθαι. εἰ μὲν γὰρ συνδιαιρεῖται τοῖς σώμασι τὰ πάθη, τῷ ἕκαστον τῶν παθῶν τούτων κινητικὸν εἶναι τῆς αἰσθήσεως (ἕκαστον δὲ αὐτῶν ἅμα τέ ἐστι τοῦτο ὅ ἐστιν, οἷον λευκὸν ἢ μέλαν ἢ θερμὸν ἢ ψυχρὸν ἢ γλυκὺ ἢ πικρὸν ἤ τι τῶν ἄλλων, καὶ αἰσθητόν ἐστιν· τὸ δὲ αἰσθητόν ἐστι τῷ δύνασθαι κινεῖν τὴν αἴσθησιν, τουτέστι τῷ δύνασθαι ἐνεργείᾳ αἴσθησιν αὐτοῦ γίνεσθαι. οὐ γὰρ πᾶν αἰσθητὸν ἐνεργείᾳ ἐστὶν αἰσθητόν, οὐδ' εὐθὺ τῷ αἰσθητὸν εἶναι καὶ αἴσθησίς ἐστι κατ' ἐνέργειαν αὐτοῦ· ἅμα μέντοι αἰσθητόν ἐστι καὶ δύναμιν ἔχει τοῦ κινεῖν αἴσθησιν· εἰ γὰρ μὴ τοῦτο, οὐδ' αἰσθητόν), εἰ δὴ ἐπ' ἄπειρον συνδιαιρεῖται τοῖς σώμασι τὰ πάθη, καὶ ἡ δύναμις, καθ' ἣν κινητικὰ τῶν αἰσθήσεών ἐστιν, ἐπ' ἄπειρον καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις αὐτῶν διαιρεθήσεται· πάντα γὰρ ἔσται μέγεθος, τουτέστι σῶμα αἰσθητόν· ἀλλ' εἰ πᾶν σῶμα αἰσθητόν, πᾶν μέγεθος ὁρατόν ἐστι καὶ αἰσθητόν. καὶ ὁτιοῦν μόριον τοῦ σώματος ὁρατόν· πᾶν δὲ τὸ ὁρώμενον μετὰ μεγέθους ὁρᾶται· πᾶν μέγεθος ἄρα ὁρατὸν ἔσται καὶ αἰσθητόν. οὐ γὰρ οἷόν τε λευκὸν μέν τι ὁρᾶν, οὐ ποσὸν δέ· ὥστε ἐν ὁπηλικῳοῦν μεγέθει χρῶμά ἐστι καὶ ὁρατόν, καὶ τὸ μέγεθος ἂν εἴη αὐτὸ ὁρατόν τε καὶ αἰσθητόν· οὕτω τε οὐδὲν ἂν εἴη σῶμα διὰ μικρότητα ἀναίσθητον. ἀλλὰ μὴν δοκεῖ ἔνια μεγέθη καὶ μόρια τοῦ σώματος ἐκφεύγειν τὴν αἴσθησιν. εἰ δὲ τοῦτο, οὐδ' ἂν πᾶν μόριον τοῦ σώματος ἐν αἰσθητῷ πάθει εἴη· εἵπετο γὰρ τῷ ἔχειν πάθος αὐτὸ τὸ καὶ αἰσθητὸν αὐτοῦ τὸ μέγεθος εἶναι. Ἀγαγὼν δὲ τὴν πρώτην ὑπόθεσιν τὴν εἰ συνδιαιρεῖται τὰ πάθη τοῖς σώμασιν ἐπ' ἄπειρον ἐπὶ τὸ ἄτοπον τοῦτο τὸ παντὸς μορίου σώματος ἐπ' ἄπειρον τεμνομένου πᾶν μέγεθος αἰσθητόν τε καὶ ὁρατὸν ἔσεσθαι, μέτεισιν ἐπὶ τὴν ἀντικειμένην ταύτῃ ὑπόθεσιν, τὴν λαμβάνουσαν μὴ συνδιαιρεῖσθαι τὰ πάθη τοῖς σώμασιν ἐπ' ἄπειρον, καί φησιν· εἰ γὰρ μὴ οὕτω ς , ἐνδέχοι τ ' ἄν τι σῶμα μηδὲν ἔχον χρῶμα μηδὲ βάρος μη δ ' ἄλλο τι τοιοῦτον πάθο ς .

in Sens.111 ἔστι γὰρ ὃ λέγει· εἰ γὰρ μὴ συνδιαιροῖτο τὰ πάθη ἐπ' ἄπειρον καὶ αὐτὰ τοῖς σώμασιν, εἴη ἄν τινα μόρια τοῦ σώματος τοῦ τεμνομένου σώματα καὶ αὐτὰ ὄντα μηδὲν ἔχοντα μήτε χρῶμα μήτε βάρος μήτε ἄλλο τι πάθος αἰσθητόν· ἀλλ' εἰ τοῦτο, ἔσται καὶ τὸ ἄλλο ὅλον μέγεθος συγκείμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξ οὐκ αἰσθητῶν οὐδ’ ἐχόντων πάθος. Ταῦτ’ εἰπὼν ἐπιφέρει· ἀλ λ ’ ἀναγκαῖον · οὐ γὰρ δὴ ἔκ γε τῶν μαθηματικῶ ν . τὸ γὰρ φυσικὸν καὶ αἰσθητὸν σῶμα ἀναγκαῖον καὶ διαιρεῖσθαι εἰς μέρη φυσικά. πᾶν δὲ φυσικὸν σῶμα σὺν πάθεσι καὶ σύγκειται ἐκ τοιούτων. εἰ γὰρ μὴ ἐκ τοιούτων εἴη συγκείμενον καὶ εἰς τοιαῦτα διαιρούμενον, εἴη ἂν ἐκ μαθηματικῶν σωμάτων τὰ φυσικὰ συγκείμενα· ἀπαθῆ γὰρ τὰ μαθηματικά. ἀλλὰ μὴν ἀδύνατον ἐκ τοιούτων λέγειν συγκεῖσθαι σώματα φυσικά τε καὶ αἰσθητά, τῷ ταῦτα, λέγω δὲ τὰ μαθηματικὰ σώματα, μηδ’ ἐν ὑποστάσει εἶναι καθ’ αὑτά, ἀλλὰ τῇ ἐπινοίᾳ χωριζόμενα τῶν παθῶν λαμβάνεσθαι. p. 445b15 Ἔτι τίνι κρινοῦμεν ταῦτα ἢ γνωσόμεθ α ; ἢ τῷ ν ῷ ; ἀλ λ ’ οὐ νοητ ά . Ταῦτά φησι τὰ ἀπαθῆ τε καὶ ἀναίσθητα σώματα. εἰ δ’ εἴη τινὰ τοιαῦτα εἰς ἃ διαιρεῖται τὰ αἰσθητὰ σώματα, τίνι κρινοῦμέν τε καὶ γνωσόμεθα; πάντα μὲν γὰρ ἃ γινώσκομεν, ἢ νοητὰ ὄντα ἢ αἰσθητά, γινώσκομεν ἢ διὰ τοῦ νοεῖν αὐτὰ ἢ διὰ τοῦ αἰσθάνεσθαι αὐτῶν· δύο γὰρ ταῦτα κριτήρια ἡ φύσις ἡμῖν δέδωκεν ἐπὶ τὴν τῶν ὄντων γνῶσιν τῷ καὶ τὰ ὄντα ταύταις ταῖς διαφοραῖς διαιρεῖσθαι. ἀλλὰ μὴν τὰ μέρη τῶν σωμάτων ταῦτα τὰ ἀναίσθητά τε καὶ ἀπαθῆ οὐδετέρῳ τούτων ὑποπεσεῖται.

in Sens.112 οὔτε γὰρ τῷ νῷ· οὐ γὰρ νοητὰ καθ’ αὑτά. οὐδὲν γὰρ ὁ νοῦς τῶν ὑποκειμένων καθ’ αὑτὸ ἐκτὸς ὄντων χωρὶς αἰσθήσεως νοεῖ· ἔστι γάρ τιν’ ἃ ἐκτὸς ὄντα καθ’ αὑτὰ [καὶ ἐκτὸς ὄντων χωρὶς αἰσθήσεως νοῒ] ὑφεστηκέναι οὐ πέφυκεν, ἄτομοι οὐσίαι ὄντα (τὰ γὰρ εἴδη τὰ τούτων καὶ τὰ κοινὰ οὐκ ἐκτὸς ὑφέστηκεν οὐδὲ καθ’ αὑτά· ἐν γὰρ τῷ νοεῖσθαι τὸ εἶναι τοῖς κοινοῖς, ὥστε καὶ ὑπόστασις αὐτῶν ὡς τοιούτων ἐν τῷ νῷ καὶ οὐκ ἐκτός). εἰ δὲ μηδὲν τῶν οὕτως ὄντων χωρὶς αἰσθήσεως ὁ νοῦς νοεῖ, ταῦτα δὲ οὐκ αἰσθητά, οὔτ’ ἂν ὁ νοῦς αὐτὰ οὔτε ἡ αἴσθησις κρίνοι. νοεῖ δὲ ὁ νοῦς τὰ αἰσθητὰ μετ’ αἰσθήσεως, τῷ δύνασθαι αἰσθήσεως αὐτῶν γενομένης τὸν νοῦν αὐτῶν θεωρεῖν τήν τε πρὸς ἄλληλα διαφορὰν καὶ τὸ τί ἦν εἶναι ἑκάστου αὐτῶν καὶ πῶς ἔχει τὰ τοιαῦτα πρὸς τὸ καθόλου, καὶ τῷ διαλαμβάνειν ἁπάντων τῷ λόγῳ τό τε συμβεβηκὸς αὐτοῖς καὶ τὸ εἶδος τὸ ὑποκείμενον. p. 445b17 Ἀλ λ ’ εἰ ταῦτα οὕτως ἔχε ι , ἔοικε μαρτυρεῖν τοῖς τὰ ἄτομα ποιοῦσ ι . Καὶ τοῦτο ἄτοπον προσφέρει τῇ δόξῃ τῇ εἰς ἀπαθῆ διαιρούσῃ τὰ αἰσθητὰ σώματα, τὸ ἔσεσθαι σύμφωνον τὸ λεγόμενον τοῖς τὰ ἄτομα μεγέθη ὑποτιθεμένοις. ᾧ γὰρ ἐκεῖνοι χρῶνται λόγῳ, ἀνάγκη καὶ τοὺς ταῦτα λέγοντας χρῆσθαι καὶ λύειν τὰ ἀπορούμενα πρὸς αὐτούς. λέγουσι δὲ οἱ τὰς ἀτόμους ὑποτιθέμενοι ἀπαθῆ τὰ ἄτομα σώματα ὄντα ἐν τῇ ποιᾷ πρὸς ἄλληλα συνθέσει τε καὶ σχέσει τὰ πάθη καὶ τὰς τοιαύτας ποιότητας ἀπογεννᾶν. τὸ αὐτὸ δὴ ἐξαναγκασθήσονται καὶ οὗτοι λέγειν· καὶ γὰρ τούτοις ἐν τῇ ποιᾷ συνθέσει τῶν ἀπαθῶν μερῶν τὰ πάθη τὰ ἐν τοῖς σώμασιν ὄντα γεννηθήσεται. Ἃ εἰπὼν ἐπιφέρει ἀλ λ ’ ἀδύνατα ὧν ἐστι τὰ ἄλλα δυνατὰ τὰ ὑπ’ ἐκείνων λεγόμενα.

in Sens.113 ὃ καὶ αὐτοὶ εἴποιεν ἂν λύειν τὰ ἀπορούμενα θέλοντες· ἀδύνατα γὰρ ἐροῦσι καὶ αὐτοὶ ταὐτά γε ἐκείνοις λέγοντες. φησὶ δὲ εἰρῆσθαι περὶ τῶν τὰ ἄτομα ὑποτιθεμένων σώματα ὅτι ἀδύνατα λέγουσιν ἐν τοῖς Περὶ κινήσεως λόγοις, Περὶ κινήσεως λέγων τὰ τελευταῖα τῆς Φυσικῆς ἀκροάσεως, ἐν οἷς ὅτι μὴ οἷόν τε ἄτομον εἶναί τι μέγεθος δέδειχε. p. 445b20 Περὶ δὲ τῆς λύσεως αὐτῶν ἅμα δῆλον ἔσται [ τ ε ] καὶ διὰ τί πεπέρανται τὰ εἴδ η . Περὶ τῆς λύσεως τῶν ἠπορημένων, ἃ ἦν, εἰ τὰ πάθη συνδιαιρεῖται τοῖς σώμασιν ἐπ’ ἄπειρον διαιρουμένοις, ἄτοπον ἔσεσθαι τὸ πᾶν σῶμα καὶ μέγεθος αἰσθητὸν γίνεσθαι, καὶ μὴ συνδιαιρουμένων τὸ ἐξ ἀπείρων καὶ ἀπαθῶν συγκεῖσθαι τὰ σώματα, ἅμα, φησί, λύσομέν τε τὰ ἠπορημένα καὶ διὰ τῆς λύσεως τούτων δῆλον ποιήσομεν καὶ τὸ διότι πεπέρανται τὰ εἴδη τῶν καθ’ ἑκάστην αἴσθησιν αἰσθητῶν, οἷον χρωμάτων, χυμῶν, ψόφων φθόγγων, ὀσμῶν καὶ τῶν ἁπτῶν ἁπάντων. τοῦτο γὰρ πρότερον μὲν προέλαβε καὶ αὐτὸ ὡς ὀφεῖλον ζητηθῆναι, νῦν δὲ συνάπτει τῶν ἠπορημένων τὴν λύσιν καὶ τὴν τούτου δεῖξιν ὡς οἰκείαν. εἰ γὰρ ἐπ’ ἄπειρον ἡ τομὴ τῶν παθῶν, πότερον καθ’ αὑτὰ οὕτως ὡς τὰ εἴδη αὐτῶν ἄπειρά τέ ἐστι καὶ καθ’ αὑτὰ διαιρετὰ τὰ πάθη ἐπ’ ἄπειρον, ἢ οὐ καθ’ αὑτὰ οὐδὲ τῷ εἴδει ἡ ἐπ’ ἄπειρον αὐτῶν τομὴ καὶ ὅλως ἡ εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγέθη, ἀλλὰ κατὰ συμβεβηκός, τῷ γὰρ ἐν οἷς ἐστι διαιρουμένοις συνδιαιρεῖσθαι καὶ αὐτά; καὶ πρῶτον μὲν δι' ἣν αἰτίαν ἀνάγκη ὡρίσθαι τὰ εἴδη τῶν αἰσθητῶν λέγει· ἔπειτα τοῦτο συνάψει τῇ τῆς προκειμένης ἀπορίας λύσει καὶ δείξει πῶς χρήσιμον τὸ ἕτερον εἰς τὸ ἕτερον. ἡ δὲ δεῖξις αὕτη· ὧν ἐστιν ἔσχατά τινα, τουτέστιν ἐν οἷς τὰ πέρατα ὥρισται, ἀνάγκη τούτοις καὶ τὰ μεταξὺ τῶν τε ἐσχάτων καὶ τῶν περάτων ὡρίσθαι. ἔσχατα δὲ ἐν παντὶ γένει τἀναντία· καὶ ὥρισται τὰ ἐναντία, εἴγε τὰ πλεῖστον διεστῶτα ἀλλήλων ἐναντία, τὸ δὲ πλεῖστον ὡρισμένον τι· ὥστε ἐν οἷς ἐναντία, ἐν τούτοις τὰ ἔσχατα ὥρισται.

in Sens.114 ἐν δὲ τοῖς αἰσθητοῖς πᾶσιν ἐναντίωσίς ἐστι, καὶ τοῦτο δείκνυσι καθ' ἕκαστον αἰσθητὸν προχειριζόμενος. τὰ ἄρα αἰσθητὰ ἅπαντα κατὰ τὸ εἶδος πεπέρανται. εἰ γὰρ ὧν τὰ ἔσχατα πεπέρανται, τούτων καὶ τὰ μεταξὺ πεπέρανται, ἐν οἷς δέ ἐστιν ἐναντία, τούτων τὰ ἔσχατα πεπέρανται, ἐν οἷς ἄρα ἐστὶν ἐναντίωσις, ταῦτα πεπέρανται· ἐν δὲ τοῖς αἰσθητοῖς πᾶσίν ἐστιν ἐναντίωσις· τὰ αἰσθητὰ ἄρα πάντα πεπέρανται. τὸ δὲ 'ὧν τὰ ἔσχατα πάντα πεπέρανται, τούτων ἀνάγκη καὶ τὰ μεταξὺ πεπεράνθαι' νῦν μὲν ὡς γνώριμον λαμβάνει, ἔδειξε δὲ αὐτὸ ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν. εἰ γὰρ μὴ εἴη γε αὐτὰ πεπερασμένα, ἀλλὰ ἐπ' ἄπειρον, οὐδ' ἂν τὰ ἔσχατα εἴη πεπερασμένα, μηδέποτε δυναμένων ἡμῶν ἐπὶ τὸ πέρας ἐλθεῖν τῷ τὰ μεταξὺ ἄπειρα εἶναι. ἔνεστι δὲ καὶ οὕτως ἐπιχειρήσαντας δεῖξαι ὅτι μὴ εἰς ἄπειρα εἴδη τέμνεται τὰ αἰσθητά· εἰ γὰρ ἀπείρων τῶν εἰδῶν ὄντων πᾶν εἶδος κατὰ ἀπείρων ἀτόμων κατηγορεῖται, ἀπειράκις ἄπειρα ἔσται τινά· εἰ δὲ κατὰ πεπερασμένων, πολλὰ ἄπειρα ἅμα ἔσται. τοῦτο δὲ ἀδύνατον· ἡ γὰρ παράθεσις τῶν ἑτέρων τοῖς ἑτέροις περαίνοι ἂν αὐτά, καὶ ἔτι γίνοιτ' ἂν ἄπειρον ἀπείρου πλέον καὶ ἔλαττον. p. 445b27 Τὸ μὲν οὖν συνεχὲς εἰς ἄπειρα τέμνεται ἄνισ α , εἰς δὲ ἴσα πεπερασμέν α , τὸ δὲ μὴ κα θ ' αὑτὸ συνεχὲς εἰς πεπερασμένα εἴδ η . Διὰ τῶν νῦν εἰρημένων εἶπεν ἅμα τε λυθήσεσθαι τὴν ἀπορίαν καὶ δειχθήσεσθαι ὅτι τὰ εἴδη τῶν αἰσθητῶν πεπέρανται. λύσει μὲν γὰρ τὴν ἀπορίαν δείξας, πῶς τῇ ἐπ' ἄπειρον διαιρέσει τῶν συνεχῶν συνδιαιρεῖσθαι δύναται τὰ πάθη, καὶ πῶς τῶν αἰσθητῶν τὰ μέρη πάντα αἰσθητά τε καὶ οὐκ αἰσθητά.

in Sens.115 τὰ δὲ εἴδη τῶν αἰσθητῶν οὐκ ἔσται ἄπειρα, εἰ καὶ συνδιαιροῖτο ἐπ' ἄπειρον, διὰ τὰ προειρημένα· ἐν οἷς γάρ ἐστιν ἐναντία, τούτων ἀνάγκη καὶ τὰ μεταξὺ εἴδη τῶν ἐναντίων ὡρίσθαι. οὐδὲ γὰρ καθ' αὑτὰ διαιρεῖται οὕτως, ἀλλὰ κατὰ συμβεβηκός, συνδιαιρούμενα τούτοις ὧν ἐστι τὰ πάθη. ἄτοπον γὰρ ἦν τὸ εἴδη τινὰ τῶν αἰσθητῶν μὴ λέγειν αἰσθητὰ εἶναι, ὃ συνέβαινεν ἐν τῇ ἐπ' ἄπειρον τῶν σωμάτων διαιρέσει, τῷ γὰρ καὶ τὰ αἰσθητὰ συνδιαιρούμενα αὐτοῖς εἰς εἴδη διαφέροντα διαιρεῖσθαι. δείκνυσιν οὖν, τίνι διαφέρει ἡ τῶν συνεχῶν διαίρεσις τῆς τῶν μὴ συνεχῶν διαιρέσεως, ὁποῖά ἐστι καὶ τὰ πάθη τὰ ἐν τοῖς σώμασι. τὰ μὲν δὴ συνεχῆ τέμνεσθαί φησιν, εἰ μὲν εἰς ἴσα τέμνοιτο, εἰς πεπερασμένα, τὴν δὲ ἐπ' ἄπειρον αὐτῶν γίνεσθαι διαίρεσιν κατὰ τὴν εἰς ἄνισα τομήν, ὡς ἔδειξε καὶ ἐν τῇ Φυσικῇ ἀκροάσει, καὶ εἶναι ἀμφοτέρας τὰς διαιρέσεις καθ' αὑτὰ τῶν συνεχῶν τὰς εἰρημένας, τῶν δὲ μὴ συνεχῶν, ὁποῖά ἐστι τὰ αἰσθητὰ καὶ ὅλως τὰ πάθη, τὴν καθ' αὑτὰ διαίρεσιν εἰς πεπερασμένα εἴδη γίνεσθαι· εἰς γὰρ εἴδη, ἀλλ' οὐκ εἰς μεγέθη, ἡ τῶν μὴ συνεχῶν διαίρεσις· τὰ δὲ εἴδη τούτων πεπέρανται, ὅτι καὶ ἐναντίωσίς ἐστιν ἐν αὐτοῖς. Ὅτι μὲν οὖν πᾶν συνεχές, εἰ εἰς ἴσα διαιροῖτο, εἰς πεπερασμένα διαιρεθήσεται, δῆλον. πᾶν μὲν γὰρ συνεχὲς πεπερασμένον (δέδεικται γὰρ ὅτι μηδέν ἐστιν ἐνεργείᾳ ἄπειρον)· τὸ δὲ πεπερασμένον πᾶν καταμετρεῖται ὑπὸ παντὸς μορίου αὐτοῦ. καὶ γὰρ εἰ τὸ τελευταῖον καταμετροῦν αὐτὸ μὴ συναπαρτίζοιτο αὐτῷ, ἀλλ' ὑπερβάλλοι αὐτό, οὐδὲν ἧττον κατεμέτρησεν αὐτό· εἰ δὲ κατεμέτρησε, δῆλον ὅτι πεπερασμένα ἂν εἴη ἐν αὐτῷ τὰ τηλικαῦτα, ἡλίκον ἐστὶ τὸ καταμετροῦν αὐτό. εἰς μὲν οὖν ἴσα πεπερασμένα πᾶν συνεχὲς τέμνεται διὰ τοῦτο· ἡ δὲ εἰς ἄπειρον διαίρεσις τῶν συνεχῶν γίνεται κατὰ τὰς ἀνίσους διαιρέσεις ἀεί. εἰ 〈γὰρ〉 τοῦ ἀφαιρουμένου τοσοῦτον ἀφαιροῖτο ὁπόσον ἦν αὐτὸ ἀφ' οὗ ἀφῃρέθη, εἴγε, καθ' ὃν λόγον

ἔφθασεν διῃρῆσθαι τὸ ὅλον, κατὰ τοῦτον καὶ τὸ μόριον αὐτοῦ διῄρηται καὶ τὸ τούτου πάλιν μόριον ὁμοίως, ἐπ’ ἄπειρον ἡ διαίρεσις ἔσται.

in Sens.116 τοῦ μὲν οὖν συνεχοῦς ἡ διαίρεσις τοιαύτη· τοῦ δὲ μὴ καθ’ αὑτὸ συνεχοῦς, ὁποῖαί εἰσιν αἱ αἰσθηταὶ ποιότητες, αἱ διαιρέσεις εἰς πεπερασμένα εἴδη γίνονται, εἰ διαιροῖντο καθ’ αὑτάς, ὡς δέδεικται. Ἦν δὲ τὸ ἀπορούμενον, εἰ, ὥσπερ τὰ σώματα ἐπ’ ἄπειρον διαιρεῖται, οὕτω καὶ τὰ πάθη αὐτῶν. τοῦτο δὲ δεικνὺς λέγει ὅτι καθ’ αὑτὰ μὲν ἡ τῶν παθῶν διαίρεσις εἰς πεπερασμένα γίνεται εἴδη. τὰ γὰρ πάθη τῶν σωμάτων ταῦτα τὰ αἰσθητὰ εἴδη ἐστί, καὶ οὐ μεγέθη οὐδὲ συνεχῆ καθ’ αὑτά· διὸ καὶ ἡ διαίρεσις αὐτῶν εἰς πεπερασμένα γίνεται. τῷ δὲ πάθη εἶναι τῶν συνεχῶν καὶ ἐν τοῖς συνεχέσιν ὑπάρχειν καὶ ἐν τούτοις τὸ εἶναι ἔχειν, κατὰ συμβεβηκὸς ἂν ἐκείνοις συνδιαιροῖτο, καὶ δῆλον ὅτι, ὡς ἂν ἐκεῖνα διαιροῖτο, καὶ ταῦτα αὐτοῖς συνδιαιρεθήσεται. ἐπεὶ τοίνυν δυνάμει ἐπ’ ἄπειρον διαιρετὸν τὸ συνεχές ἐστι, εἴη ἂν καὶ τὰ πάθη κατὰ συμβεβηκὸς ὁμοίως ἐκείνῳ διαιρετὰ ἐπ’ ἄπειρον δυνάμει. δεῖ οὖν, φησίν, ἐν τοῖς αἰσθητοῖς τοῖς ἐν συνεχείᾳ οὖσι λαμβάνειν ὅτι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἕτερον (ἄλλο γὰρ τὸ ἐνεργείᾳ αἰσθητῷ εἶναι καὶ ἄλλο τὸ δυνάμει), καὶ ὡς τὰ μέρη τοῦ συνεχοῦς ἐν τῷ ὅλῳ δυνάμει, καὶ τὰ τῶν μορίων πάθη ἅ ἐστιν αἰσθητὰ δυνάμει ἐστὶν αἰσθητά, ὄντων τῶν μορίων ἐν τῷ ὅλῳ. ὅλη μὲν οὖν ἡ κέγχρος αἰσθητὴ καθ’ αὑτήν (καθ’ αὑτὴν γὰρ καὶ ἔστι), τὸ δὲ μυριοστὸν μέρος τῆς κέγχρου δυνάμει ἐστὶν αἰσθητὸν τῷ μὴ εἶναι καθ’ αὑτό, ἀλλ’ ἐν τῇ κέγχρῳ οὔσῃ συνεχεῖ. ἐπέρχεται μὲν γὰρ καὶ τοῦτο ἡ ὄψις, ὅταν τὴν κέγχρον βλέπῃ, οὐ μὴν καθ’ αὑτὸ αὐτὸ ὁρᾷ, ἀλλὰ ὡς ἐν τῷ ὅλῳ ὄν. ὁμοίως ἔχει καὶ περὶ τοῦ ἐν τῇ διέσει φθόγγου· τοῦ μὲν παντὸς μέλους συνεχοῦς ὄντος, οὗ μόριον ὁ ἐν τῇ διέσει φθόγγος, καθ’ αὑτὸ ἀκούει ἡ ἀκοή, δυνάμει δὲ τοῦ ἐν τῇ διέσει, ὅτι μόριον ἐκείνου.

in Sens.117 εἰπὼν δὲ συνεχοῦς ὄντος τοῦ μέλους ἀκούει παντὸς ἡ ἀκοή, τὸ δὲ διάστημά φησι τοῦτο τὸ τῆς διέσεως, ὂν μόριον τοῦ μέλους καὶ μεταξὺ ὂν τῶν ἐσχάτων, τουτέστι τοῦ ὅλου διαστήματος τοῦ μέλους (τοῦτο γάρ ἐστι τὸ τοῦ μεταξὺ πρὸς τοὺς ἐσχάτου ς ) λανθάνειν (τὸ γὰρ μεταξὺ ὂν τῶν ἐσχάτων φθόγγων μόριόν ἐστι τοῦ ἀκουομένου παντὸς μέλους) τῷ ἐν τῷ ὅλῳ εἶναι, αὐτὸ καθ’ αὑτὸ οὐκ αἰσθητὸν τότε ἐνεργείᾳ ὄν, ὅτι μηδὲ ἔστι καθ’ αὑτό. Εἰπὼν δὲ ἐπὶ τοῦ ὁρατοῦ καὶ ἐπὶ τοῦ ἀκουστοῦ τὰ μόρια τὰ ἐν τοῖς ὅλοις λανθάνειν τῷ μὴ εἶναι ἐνεργείᾳ αἰσθητὰ μηδὲ καθ’ αὑτά, ὅταν ᾖ ἐν τοῖς ὅλοις, ἀλλὰ δυνάμει, ὁμοίως φησὶν ἔχειν καὶ ἐπὶ τῶν ἄλλων αἰσθητῶν· τὰ γὰρ μικρὰ μόρια τὰ ἐν τοῖς αἰσθητοῖς δυνάμει εἶναι αἰσθητά, ἐνεργείᾳ δὲ μή, ὅτι μηδὲ τὴν ἀρχὴν κεχώρισται μηδὲ ἔστι καθ’ αὑτά. οὐδὲ γὰρ ἡ ποδιαία ἐνεργείᾳ ἐστὶν ἐν τῇ δίποδι συνεχεῖ οὔσῃ, ἀλλὰ δυνάμει· ἐνεργείᾳ δὲ τότε γίνεται ἡ ποδιαία, ὅταν χωρισθῇ καὶ καθ’ αὑτὴν ληφθῇ χωρισθεῖσα τῆς πρὸς τὴν ἑτέραν συνεχείας. Εἰπὼν δὲ τὰ μόρια τὰ ἐν τοῖς ὅλοις δυνάμει [τε] αἰσθητὰ εἶναι τῷ δυνάμει καὶ εἶναι ἐν τῇ συνεχείᾳ τῇ τῶν ὅλων, ἐφεξῆς ζητεῖ, εἰ χωρισθέντα τῆς συνεχείας πάντα δύναται καθ’ αὑτὰ αἰσθητὰ γίνεσθαι, ἤ, εἰ μὴ τοῦτο, πῶς ἐν τῷ ὅλῳ ὄντα δυνάμει λέγοιτ’ ἂν εἶναι, καί φησιν ἐνδέχεσθαι μέν, εἰς τὰ τηλικαῦτα τῆς διαιρέσεως γινομένης, μηδὲ μένειν ἔτι τὰ μόρια τὰ τηλικαῦτα ἐπὶ τῆς οἰκείας φύσεως, ὡς μὴ μένειν ἔτι ἀφαιρεθὲν τὸ μυριοστὸν τῆς κέγχρου μέρος ἔτι μέρος κέγχρου καὶ τὸ πάθος ὃ εἶχεν ὂν ἐν τῇ κέγχρῳ, ἀλλ’ ἀναλύεσθαι καὶ μεταβάλλεσθαι εἰς τὸν περιέχοντα ἀέρα, ὡς μεταβάλλον ἐκείνου πάλιν γίνεσθαι συνεχὲς μόριον. ὡς γὰρ ὁ κύαθος τοῦ οἴνου εἰς τὴν θάλασσαν ἐγχυθεὶς οὐ φυλάσσει τὴν αὑτοῦ φύσιν, ἀλλ’ εἰς τὴν τῆς θαλάσσης οὐσίαν μεταβάλλει, οὕτω καὶ τὰ τῶν αἰσθητῶν μόρια τηλικαῦτα εὔλογον χωριζόμενα, εἰς οὕτω μικρὰ διαιρουμένου τοῦ ὅλου, εἰς τὸ περιέχον ἀναλύεσθαι· ὥστ’ οὐδ’ οὕτως ἂν εἴη καθ’ αὑτά, ἀλλὰ μέρη τούτων εἰς ἃ ἀνελύθη.

in Sens.118 Οὐ μὴν ἀλλ’ εἰ καὶ μὴ φθείροιτο, ἀλλὰ μένοι, οὐδ’ οὕτως ἂν εἴη ἐνεργείᾳ αἰσθητόν, ἀλλὰ καὶ τότε δυνάμει· πάντα μὲν γὰρ τὰ ἐν τοῖς ὅλοις μέρη, ἔστ’ ἂν ἐν τοῖς ὅλοις ᾖ, δυνάμει ἐστὶν αἰσθητὰ καὶ οὐκ ἐνεργείᾳ· καὶ γὰρ τὰ μέρη τοῦ ὅλου οὕτως ἔχει τὸ εἶναι. οὕτω δὲ καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορίων τὰ τηλικαῦτα, ὡς διὰ μικρότητα διαφεύγειν τὴν αἴσθησιν, καὶ χωρισθέντα τῶν ὅλων φυλάσσει τὸ δυνάμει, ὅσον μὲν ἐπὶ τῇ αὑτῶν φύσει αἰσθητὰ ὄντα καὶ ἔχοντα τὸ πάθος (καὶ γὰρ ἐν τῷ ὅλῳ ὄντα αἰσθητὰ ἦν, ἐπεὶ οὖν ἡ ὄψις, εἰ καὶ μὴ καθ' αὑτά), διὰ δὲ σμικρότητα τὴν αἴσθησιν διαφεύγοντα. τούτου δὲ αἴτιον, ὅτι ἡ ὑπεροχὴ τῆς αἰσθήσεως οὐ καθ' αὑτὴν αἰσθητή, τουτέστιν οὐ πᾶν μόριον τοῦ αἰσθητοῦ αἰσθητόν ἐστι καθ' αὑτό· ὑπεροχὴν γὰρ αἰσθήσεως εἴη ἂν λέγων ἀντὶ τοῦ κατ' ἐνέργειαν. ὑπεροχὴ δὲ τοῦ αἰσθητοῦ εἴη ἂν μόριον, οὗ ἀφαιρεθέντος τὸ καταλειπόμενον ἔτι αἰσθητὸν ἐνεργείᾳ μένει. εἰ τοῦτο οὖν τὸ μόριον τὸ ἀπὸ τοῦ αἰσθητοῦ ἀφαιρούμενον οὐ πᾶν ἐστι, μονωθὲν καὶ χωρισθὲν τοῦ ὅλου, καθ' αὑτὸ αἰσθητόν, ἀλλὰ δυνάμει, 〈δυνάμει〉 μὲν εἴη ἂν καὶ τότε αἰσθητόν, ἐνεργείᾳ δὲ οὔ. καὶ γὰρ καὶ ὅτε ἐν ὅλῳ ἦν τῷ ἐνεργείᾳ αἰσθητῷ, οὐ καθ' αὑτὸ ἦν αἰσθητόν. ἀλλ' οὐ διὰ τοῦτο οὐδὲν αἰσθητὸν ἦν. Ἢ τὸ λεγόμενον τοιοῦτόν ἐστιν· ὡς γὰρ ἡ ἀκριβεστέρα αἴσθησις ὑπερέχει τινὶ δυνάμει αἰσθητικῇ τῆς ἧττον ἀκριβοῦς (οὐ γὰρ κατ' ἄλλο τι ἡ ὑπεροχὴ τῆς ἀκριβεστέρας αἰσθήσεως ἢ κατὰ δύναμιν αἰσθητικήν), οὐ μὴν καθ' αὑτὴν ἡ ὑπεροχὴ αὐτὴ γινομένη αἴσθησίς ἐστι (τὸ γὰρ αἰσθητὴ εἶπεν ἀντὶ τοῦ αἰσθητική· οὐ γὰρ εἴ τις τοσαύτην ἔχουσα δύναμιν, ὅση ἐστὶν ἡ αἰσθητικὴ ὑπεροχὴ ἐν τῇ ἀκριβεστέρᾳ αἰσθήσει, ἤδη καὶ αἰσθάνεσθαι ἂν δύναιτο· καίτοι αὔξει τὴν αἴσθησιν τῇ προσθήκῃ· δυνάμει γὰρ ἐν τῇ ἀκριβεστέρᾳ αἰσθήσει ἡ ὑπεροχὴ ἐνυπάρχει, καὶ ἔστιν αἴσθησις δυνάμει, ἀλλ' οὐχ οὕτως ὥστε καὶ χωρισθεῖσα καθ' αὑτὴν αἴσθησις εἶναι), οὕτως καὶ ἐν τοῖς αἰσθητοῖς ἔνια τῶν μορίων οὕτως ἐστίν, ἐν τῷ ὅλῳ ὄντα, δυνάμει αἰσθητά, ὡς ὄντα μὲν ἐν τῷ ὅλῳ συντελεῖν τι αὐτῷ πρὸς τὸ αἰσθητῷ εἶναι, χωρισθέντα μέντοι καὶ καθ' ἑαυτὰ γινόμενα μὴ εἶναι αἰσθητὰ δι' ὑπεροχήν.

in Sens.119 〈ὑπεροχὴν〉 γὰρ καὶ αἰσθήσεως λέγοι ἂν καὶ τὴν ἐν τῇ ἀκριβεστέρᾳ γινομένην πρὸς τὴν ἧττον ἀκριβῆ. ὁρᾷ μὲν γάρ τι πλέον ἡ ἀκριβεστέρα αἴσθησις, ἀλλ' οὐχ οὕτως ὡς ὑπερβάλλουσα οὐχ ὁμοίως αὐτὸ οὐχ ὁρᾶν τῇ ἀκριβείᾳ, ἀλλ' ἀκριβέστερον. λίαν δὲ ἀνυσίμως ἔδειξε τὸ προκείμενον τῇ τῆς αἰσθήσεως ὑπεροχῇ χρησάμενος καὶ τὴν ὁμοιότητα δείξας αὐτῶν. ὡς γὰρ ἡ ὑπεροχὴ τῆς ἀκριβεστέρας αἰσθήσεως συντελοῦσα εἰς τὴν αἴσθησιν τῷ ἔχοντι χωρισθεῖσα οὐκ ἔστιν αἴσθησις καθ' αὑτήν, οὕτως οὐδὲ τὸ τηλικοῦτον μόριον τοῦ αἰσθητοῦ χωρισθὲν ἔσται καθ' αὑτὸ αἰσθητόν, ἀλλ' ὁμοίως μὲν αἰσθητόν, ὡς ἦν καὶ ὅτε ἦν ἐν τῷ ὅλῳ· δυνάμει γὰρ καὶ τότε· οὕτως γὰρ ἡ ὑπεροχὴ τῆς ἀκριβεστέρας αἰσθήσεως καθ' αὑτὴν λαμβανομένη αἴσθησις δυνάμει τῷ προστεθείσης ἄλλης δυνάμεώς τινος αἴσθησις γίνεσθαι. οὐ μήν, ἐπεὶ μὴ καθ' αὑτὸ αἰσθητόν ἐστι χωρισθέν, διὰ τοῦτο ἀναίσθητον καὶ ἀπαθὲς ἔσται· ἀλλ' ἔσται καθ' αὑτὸ ὂν δυνάμει αἰσθητόν· ἔχει μὲν γὰρ τὰ πάθη τὰ αἰσθητά, διὰ δὲ σμικρότητα ἐκπέπτωκε τοῦ καθ' αὑτὸ κινεῖν τὴν αἴσθησιν δύνασθαι. ἐνεργείᾳ δὲ αἰσθητὸν ἔσται ἄλλοις ὁμοίοις προσγενόμενον. ὅταν γὰρ ἀθροισθῇ ταῦτα ἃ κατ' ἰδίαν ὄντα καὶ κεχωρισμένα δυνάμει μόνον ἦν αἰσθητά, δι' ἀσθένειαν μὴ δυνάμενα τὴν αἴσθησιν κινεῖν ἐνεργείᾳ, καὶ γένηται ἐξ αὐτῶν τηλικοῦτον ὡς δύνασθαι κινεῖν ταύτην, δι' ὧν ἡ κατ' ἐνέργειαν αἴσθησις γίνεται.

in Sens.120 οὐ γὰρ ἐν ποιότητι μόνῃ, ἀλλὰ καὶ ἐν ποσότητι τῆς δυνάμεως ἡ ὑπὸ τοῦ αἰσθητοῦ τότε κίνησις γίνεται ἐνεργείᾳ αἰσθητή, οὐχ ὡς ἑκάτερον αὐτῶν κατ' ἰδίαν ὂν αἰσθητόν, ἀλλ' ὡς διὰ τὴν σύνθεσιν συντελοῦντα τῷ ὅλῳ τῷ [τε] ἐξ αὐτῶν εἰς τὸ δύνασθαι κινεῖν τὴν κατ' ἐνέργειαν αἴσθησιν. οὕτω γὰρ καὶ ἐν τῷ ὅλῳ ὄντα δυνάμει αἰσθητά, οὐχ ὡς ἐνεργείᾳ δυνάμενά ποτε γίνεσθαι καθ' αὑτά, ἀλλ' ὡς μέρη. μέρη γὰρ ἦν τοῦ καθ' αὑτὸ αἰσθητοῦ, καὶ εἴη ἂν τῆς δυνάμεως αὐτῶν τῆς πρὸς τὴν αἴσθησιν, ἣν ἔχει κεχωρισμένα ἐνεργείᾳ, ἡ ὑστέρα δύναμις, καθ' ἣν ἐν τῷ ὅλῳ ὄντα καὶ μέρη δυνάμει ἐλέγετο αἰσθητὰ εἶναι. τότε γὰρ αὐτῶν ἡ αἴσθησις ἀντιλαμβάνεταί πως καὶ ἐνεργεῖ περὶ αὐτά, εἰ καὶ μὴ ὡς καθ' αὑτὰ ὄντα κεχωρισμένα. Δείξας δὲ ταῦτα ἐπιφέρει· ὅτι μὲν οὖν ἔνια μεγέθη καὶ πάθη λανθάνει καὶ διὰ τίνα αἰτίαν καὶ πῶς αἰσθητὰ καὶ πῶς ο ὔ , εἴρητα ι , τῷ μὲν μεγέθη ' καὶ πάθη ' προσθείς· οὐ γὰρ τῷ ἀπαθῆ εἶναι ἔνια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγέθη λανθάνει τὴν αἴσθησιν [οὕτως γὰρ], ἀλλὰ καὶ τὰ πάθη, ὡς τὰ μεγέθη, λανθάνει τὸ δὲ καὶ διὰ τίνα αἰτία ν , ὅτι οὐ διὰ τὸ [μὴ] ἀπαθῆ τε καὶ χωρίς τινος αἰσθητῆς διαφορᾶς εἶναι λανθάνει τὴν αἴσθησιν (οὕτω γὰρ γίνεται τὸ ἀπορηθὲν τὸ ἐξ ἀναισθήτων καὶ ἀπαθῶν τὰ πάθη τε καὶ τὰ αἰσθητὰ γίνεσθαι, ὡς ἐδόκει τοῖς ἀτόμους ἀρχὰς ὑποτιθεμένοις), ἀλλὰ τῷ ἔχειν μέν, ἐλάττω μέντοι εἶναι ἢ ὡς κινεῖν τὴν αἴσθησιν καθ' αὑτὰ ὄντα δύνασθαι. διὰ τοῦτο γὰρ οὔτε πάντα αἰσθητά, εἰς ἄπειρον γινομένης τῆς διαιρέσεως, οὔτ' ἔστι τινὰ μόρια τῶν αἰσθητῶν ἀναίσθητα καὶ ἀπαθῆ τῇ αὑτῶν φύσει. ὅταν μὲν οὖν ταῦτα τὰ καθ' αὑτὰ διαλανθάνοντα τὴν αἴσθησιν ἐνυπάρχῃ τινὶ καὶ ἅμα τοσαῦτα ὡς ἤδη κινεῖν τὸ ἐξ αὑτῶν τὴν αἴσθησιν δύνασθαι καὶ μὴ μόνον ᾗ αἰσθητὰ τὰ ἐξ αὐτῶν δυνάμει, οὕτως ἔτι ἐν τῷ ὅλῳ ὄντα συντελεῖ τι τῷ ὅλῳ πρὸς τὴν ἐκείνου αἴσθησιν, ἀλλ' οὐ δυνάμει οὕτως ἐν τῷ ὅλῳ αἰσθητὰ ὡς, ἂν χωρισθῇ, δύνασθαι καὶ καθ' αὑτὰ αἰσθητὰ εἶναι.

in Sens.121 Ὅταν δὲ τὰ μόρια τοῦ συνεχοῦς τε καὶ αἰσθητοῦ μεγέθους τηλικαῦτα ᾖ, ὡς μὴ μόνον συντελεῖν τῷ ὅλῳ πρὸς τὸ εἶναι αἰσθητῷ τῷ καὶ αὐτὰ εἶναι ὄντα ἐν αὐτῷ δυνάμει αἰσθητά, ἀλλὰ καὶ χωρισθέντα καθ' αὑτὰ ἐνεργείᾳ αἰσθητὰ εἶνα ι , ἀναγκαῖον ταῦτα τὰ μεγέθη πεπερασμένα κατὰ ἀριθμὸν εἶναι ἐν τῷ μεγέθει· οὐ γὰρ οἷόν τε εἰς τηλικαῦτα ἄπειρα μεγέθη διαιρεῖσθαι 〈τὸ〉 πεπερασμένον. αἱ γὰρ εἰς τοιαῦτα διαιρέσεις ὅμοιαι τῇ εἰς ἴσα· οὐ γὰρ ἔτι εἰς ἐλάττω ὁ οὕτω διαιρῶν διαιρεῖ. διττὸν γὰρ τὸ δυνάμει αἰσθητόν, τὸ μέν, ὅτι ἐν τῷ ὅλῳ ἐστὶ καὶ μηδέπω κεχώρισται, δυνάμενον καὶ χωρισθὲν ἐκείνου καθ' αὑτὸ αἰσθητὸν εἶναι, τὸ δὲ ὅτι συντελεῖ τῷ ὅλῳ πρὸς τὸ εἶναι αἰσθητῷ, οὐκ ὂν καθ' αὑτὸ ἐνεργείᾳ αἰσθητὸν οὐδέποτε. τὰ δὴ οὕτως δυνάμει αἰσθητὰ ἐν τῷ ὅλῳ ὡς καὶ καθ' αὑτὰ αἰσθητὰ δύνασθαι εἶναι πεπερασμένα γίνεται, ὡς ἐγίνετο καὶ ἡ εἰς ἴσα αὐτῶν διαίρεσις. οὐ γὰρ εἰς ἄπειρα αἰσθητὰ ἐνεργείᾳ οἷόν τε τὸ συνεχὲς διαιρεῖσθαι, ὥσπερ οὐδὲ εἰς ἴσα. ὡς οὖν τὰ ἄπειρα μέρη ἐν τῷ συνεχεῖ δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δὲ οὐδέποτε, οὕτως καὶ τὰ αἰσθητὰ τὰ κατὰ τὴν ἐπ' ἄπειρον τομὴν διαιρούμενα δυνάμει μὲν ἔσται αἰσθητά, ἐνεργείᾳ δὲ αἰσθητὰ οὐδέποτε καθ' αὑτὰ γίνεται. ὡς δὲ τὰ τηλικαῦτα μέρη τοῦ συνεχοῦς πεπερασμένα τῷ ἀριθμῷ, οὕτω καὶ τὰ ἐν αὐτοῖς ὄντα αἰσθητὰ πάθη, τῷ τὴν τούτων διαίρεσιν τὴν οὕτω γινομένην κατὰ συμβεβηκὸς γίνεσθαι καὶ οὐ καθὸ ἦν αὐτῶν ἡ κατ' εἴδη διαίρεσις, συνδιαιρούμενα τοῖς μεγέθεσιν, ὡς ἂν ἐκεῖνα ἔχοι τὸ ἄπειρόν τε καὶ πεπερασμένον, οὕτω καὶ αὐτὰ ἔχει, κατὰ συμβεβηκὸς μέντοι. ἔδειξεν οὖν ὅτι μήτε πᾶν μόριον τοῦ αἰσθητοῦ αἰσθητὸν ἐνεργείᾳ μήθ' ὅτι ἐξ ἀναισθήτων καὶ ἐξ ἀπαθῶν τὰ αἰσθητὰ καὶ τὰ πάθη, καὶ ἐτήρησε τὸ πᾶν μόριον τοῦ αἰσθητοῦ αἰσθητὸν εἶναι τῇ αὑτοῦ φύσει.

in Sens.122 Οὐ μήν, εἰ ἔστι τι ἀναίσθητον μέγεθος καθ' αὑτό, ἤδη ἔστι καὶ μέγιστόν τι ἀναίσθητον καὶ ἐλάχιστον αἰσθητόν. τῷ γὰρ ἐπ' ἄπειρον εἶναι τοῦ μεγέθους τὴν διαίρεσιν, ὡς δέδεικται, καὶ τοῦ μεγέθους τὸ μέρος μέγεθος εἶναι, πᾶν μὲν τὸ ἀπὸ τοῦ ληφθέντος ὡς ἐλαχίστου αἰσθητοῦ ἀφαιρούμενον, 〈ὡσ〉 εἶναι ἀνεπαίσθητον μέγιστον τὸ μετὰ τὴν ἀφαίρεσιν, διαιρετὸν ἔσται. διαιρουμένου δὲ αὐτοῦ καὶ προστιθεμένου καθ' ἕκαστον τῶν μορίων αὐτοῦ τῷ 〈ἀνεπ〉 αισθήτῳ γενομένῳ μετὰ τὴν ἀφαίρεσιν τούτου, εἰ μὲν μένοι ἀνεπαίσθητον ἔτι προστιθεμένων τούτων, οὐκ ἦν μέγιστον ἀνεπαίσθητον τὸ μετὰ τὴν ἀφαίρεσιν. εἰ δὲ αἰσθητὸν γίνοιτο καθ' ἑκάστην προσθήκην, ἐλάχιστον αἰσθητὸν ἀφ' οὗ ἀφαιρεθὲν τοῦτο τὸ τεμνόμενον καὶ προστιθέμενον ποιήσει τὸ ἀνεπαίσθητον· καὶ γὰρ μέρους αὐτοῦ ἀφαιρεθέντος προστεθὲν αὐτῷ καὶ οὕτω ποιεῖ αὐτὸ αἰσθητόν· ὥστ' οὐκ ἦν ὅλον τὸ μετὰ τοῦ ἀφῃρημένου ἐλάχιστον αἰσθητόν. καὶ τοῦτο ἔνεστι δεικνύναι ἐπὶ πάσης ἀφαιρέσεως. ὥστ' εἰ καὶ ἔστι τι ἀνεπαίσθητον, ἀλλ' οὐ μέγιστον, ὥσπερ οὐδέ τι αἰσθητὸν ἐλάχιστον, εἰ καὶ ἔστι τι ἀνεπαίσθητον· ἔτι δὲ εἰ πᾶν μέγεθος δυνάμει ἐστὶν αἰσθητόν (τὸ γὰρ ἀνεπαίσθητον οὐ τῇ ἑαυτοῦ φύσει τοιοῦτον, ἀλλὰ διὰ τὴν τῆς αἰσθήσεως ἀσθένειαν), οὐκ ἂν εἴη ἀνεπαίσθητόν τι μέγεθος τῇ αὑτοῦ φύσει· ὥστε οὐδὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέγιστον. εἰ δὲ μήτε ἐλάχιστόν τί ἐστιν αἰσθητὸν τῇ αὑτοῦ φύσει μήτε μέγιστον ἀνεπαίσθητον, οὐδ’ ἂν ἐλάχιστόν τι ὂν τῇ αὑτοῦ φύσει μέγεθος δεικνύοιτο, ὡς οἴεται ὁ Διόδωρος δεικνύναι. p.

in Sens.123 446a20 Ἀπορήσειε δ ’ ἄν τι ς , εἰ ἄρα ἀφικνοῦνται τὰ αἰσθητὰ ἢ αἱ κινήσεις αἱ ἀπὸ τῶν αἰσθητῶ ν . Ἡ ἀπορία νῦν ἐστιν, εἰ πάντα τὰ αἰσθητὰ πρὸ τοῦ τῇ αἰθήσει προσβάλλειν πρῶτον ἐν τῷ ἡμίσει τοῦ διαστήματος τοῦ μεταξὺ τῆς τε αἰσθήσεως καὶ αὐτοῦ γίνεται. τοῦτο γὰρ ἐπὶ μέν τινων αἰσθητῶν γνώριμον, ὡς ἐπί τε τῶν ψόφων καὶ ἐπὶ τῶν ὀσμῶν. οὔτε γὰρ εὐθὺ τῷ γενέσθαι τὸν ψόφον ἡ ἀκοή (ἀμέλει οἱ πόρρωθεν ὄντες τῶν πλησίον βραδύτερον ἀκούουσιν, ὡς ἐν χρόνῳ πλείονι φερομένου τοῦ αἰσθητοῦ πρὸς αὐτοὺς διὰ 〈τὸ διὰ〉 πλείονος διαστήματος φέρεσθαι), ἀλλὰ καὶ ἐπὶ τῶν ὀσμῶν ὅμοιον τὸ γινόμενον· οὐ γὰρ εὐθὺ τῷ τὸ εὐῶδες παρενεχθῆναι ἡ ὄσφρησις, οὐδὲ κατὰ ταὐτὸν οἵ τε ἐγγὺς αὐτοῦ καὶ οἱ πόρρω αἰσθάνονται. ἐπὶ μὲν οὖν τούτων γνώριμον· ζητεῖσθαι δὲ ἄξιον, εἰ καὶ ἐπὶ τῆς ὄψεως οὕτως, εἰ καὶ δεῖ ἐνεχθῆναί τι ἀπὸ τοῦ ὁρατοῦ καὶ τοῦτο ἐν χρόνῳ τῷ τὸ φερόμενον πᾶν διάστημα ἐν χρόνῳ κινεῖσθαι. Ἡ μὲν ἀπορία αὕτη. εἶπε δὲ τὸ ἆρα ἀφικνοῦνται ἢ τὰ αἰσθητὰ ἢ αἱ κινήσεις αἱ ἀπὸ τῶν αἰσθητῶ ν , ὅτι τοῖς μὲν ἐδόκουν ἀπόρροιαί τινες ἀπὸ τῶν αἰσθητῶν πρὸς τὰς αἰσθήσεις φέρεσθαι καὶ εἶναι τούτων τὴν αἴσθησιν (κατὰ δὴ τούτους αὐτὰ τὰ αἰσθητὰ ἀφικνεῖται πρὸς τὰς αἰσθήσεις), τοῖς δὲ ἀπὸ τῶν αἰσθητῶν οὐδὲν ἀπορρεῖν οὐδὲ φέρεσθαι δοκεῖ, κινεῖσθαι δέ πως τὸ μεταξὺ τοῦ τε αἰσθητοῦ καὶ τῆς αἰσθήσεως καὶ διατίθεσθαι ὑπ’ αὐτοῦ τῷ ταύτης εἶναι τῆς φύσεως, ὡς ἔδειξεν αὐτὸς γινόμενον τὸ αἰσθάνεσθαι. ἐπεὶ τοίνυν διάφορος μὲν ἡ περὶ τοῦ αἰσθάνεσθαι δόξα, οὐ πρόκειται δὲ αὐτῷ νῦν περὶ τοῦ πῶς τὸ αἰσθάνεσθαι γίνεται λέγειν, τὴν ἀπορίαν κοινὴν ποιεῖ· εἴτε γὰρ οὕτως εἴτε ἐκείνως γίνεται, ἀπορήσειεν ἄν τις, εἰ ἐν τῷ μεταξὺ πρῶτον ἢ τὸ αἰσθητὸν ἢ ἡ ἀπὸ τοῦ αἰσθητοῦ κίνησις ἔρχεται.

in Sens.124 εἶτα πρῶτον ὅτι εὔλογον οὕτως ἐπὶ πασῶν τῷ ἐπὶ τῆς ἀκοῆς οὕτως ἔχειν καὶ ἐπὶ τῆς ὀσφρήσεως συνίστησιν. Ἐπὶ δὲ τῆς ὄψεώς φησι ζητεῖσθαι τοῦτο, εἰ καὶ ἐπὶ ταύτης οὕτω γίνεται, ὥσπερ Ἐμπεδοκλεῖ δοκεῖ· λέγει γὰρ ἐκεῖνος τὸ ἀπὸ τοῦ ἡλίου φῶς πρῶτον ἐν τῷ μεταξὺ τοῦ ἡλίου καὶ τῆς γῆς γίνεσθαι, εἶθ’ οὕτως ἐν τῇ γῇ. τῆς δ’ αὐτῆς δόξης καὶ Δημόκριτός ἐστι καὶ πάντες καθ’ οὓς ἀπὸ τῶν ὁρατῶν ἀπορρέον τι φέρεται πρὸς τὴν ὄψιν. καί φησιν ὅτι εὔλογον εἶναι δόξει τὸ πρῶτον ἐν τῷ μεταξὺ γίνεσθαι τὸ ὁρατόν. ἡ γὰρ κίνησις γίνεται ἢ αὐτοῦ τοῦ ὁρωμένου ἢ ἄλλου τινὸς ὑπ’ αὐτοῦ· πᾶσα δὲ κίνησίς ποθέν ποι καὶ ἐν χρόνῳ· πᾶς δὲ χρόνος διαιρετός. ἐν 〈οὖν〉 τῷ ἡμίσει τοῦ χρόνου τοῦ ἐν ᾧ ἠνέχθη τὸ ὁρώμενον ἢ τὸ ἀπ’ αὐτοῦ πάθος καὶ ἡ κίνησις ἡ ἐγγινομένη τῷ μεταξὺ πρὸς τὴν ὄψιν εἴη ἂν ἐν τῷ ἡμίσει ἢ ἔν τινι μεταξὺ τοῦ διαστήματος, ὃ ἐφέρετο καὶ δι’ οὗ ἐκινεῖτο, καὶ οὐδέπω πρὸς τῇ ὄψει· φερόμενον ἄρα πρὸς αὐτὴν οὐδέπω ἑωρᾶτο. ὥστε καὶ ἡ ἀκτὶς ἡ ἀπὸ τοῦ ἡλίου οὕτως, ὥς φησιν Ἐμπεδοκλῆς, ὁρᾶται, οὐκ εὐθὺ τῷ τὸν ἥλιον ἀνατεῖλαι οὐδὲ ἅμα ὑπὸ πάντων οἷς ἀνέτειλεν, ἀλλ’ ἐν χρόνῳ καὶ ἐν πλείονι τοῖς πορρωτέρω οὖσιν. ἔλαβε δὲ τὸ εὔλογον εἶναι οὕτω γίνεσθαι, εἰ διὰ κινήσεως γένοιτο, δεικνὺς ὅτι, εἰ μὴ οὕτως γίνοιτο τὸ ὁρᾶν, ἔτι οὐδὲ μετὰ κινήσεως ἔσται. p. 446b2 Καὶ εἰ ἅπαν ἀκούει ἅμα καὶ ἀκήκοε καὶ ὅλως αἰσθάνεται καὶ ᾔσθητα ι . Εἰπὼν ὅτι δοκεῖ εὔλογον εἶναι τὸ πρῶτον ἐν τῷ μεταξὺ τὸ αἰσθητὸν γίνεσθαι φερόμενον πρὸς τὰς αἰσθήσεις πρὸ τοῦ ἡμᾶς αἰθάνεσθαι αὐτοῦ καὶ τοῦτο ὥσπερ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, οὕτως δὲ καὶ ἐπὶ τῶν ὁρατῶν, προστίθησι τούτῳ τὸ ὅτι *** οὐδὲν γὰρ διαφέρει τὸ μὴ γένεσιν τοῦ αἰσθάνεσθαι εἶναι πρὸς τὸ μὴ χρόνον τινὰ γίνεσθαι, ἐν ᾧ τὰ αἰσθητὰ ἐπὶ τὰς αἰσθήσεις φέρεται.

in Sens.125 τῶν γὰρ οὐκ ἀεὶ ὄντων τὰ μὲν ὅσα διὰ γενέσεως εἰς τὸ εἶναι πρόεισιν οὐχ ἅμα γίνεταί τε καὶ ἔστιν, ἀλλὰ προϋπάρχει τῆς οὐσίας ἡ γένεσις αὐτῶν. διὸ καὶ ἔστι μέν τι αὐτῶν, ὅτε γίνεται, ἔστ’ ἂν ᾖ γινόμενον. τά τε γὰρ κατὰ φύσιν γινόμενα οὕτως γίνεται (οἷον ἵππος οὐχ ἅμα γίνεταί τε καὶ ἔστιν, ἀλλ’ ἕως ἂν γένηται, οὐδέπω μέν ἐστιν ἵππος, ἔστι δέ τι αὐτοῦ), ἀλλὰ καὶ τὰ κατὰ τέχνην· οἰκία τε γὰρ οὕτως καὶ ἱμάτιον καὶ ὑπόδημα. τότε γὰρ ἔστι ταῦτα, ἃ λέγεται γίνεσθαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστ’ ἂν τοῦ γίνεσθαι παύσηται· ἔστ’ ἂν δὲ γίνηται, ἔστι μέν τι αὐτῶν, οὐ μὴν αὐτά γε. Ἔστι δέ τινα ἃ οὐ διὰ γενέσεως εἰς τὸ εἶναι πρόεισιν ἐκ τοῦ μὴ εἶναι, οὐδὲ ἔστιν αὐτῶν εἰπεῖν ὅτι μέρος μέν τι ἔστιν, οὐ μέντοι δὲ συμπεπλήρωται οὐδὲ ἔστιν ὅλα τῷ γίνεσθαι ἔτι καὶ δεῖσθαι χρόνου τινὸς πρὸς τὴν τελείωσιν· παντὸς γὰρ γένεσις ἐν χρόνῳ γίνεται. τοιοῦτόν ἐστιν ἡ ἀφή· οὐ γὰρ ἔστι γένεσις ἀφῆς· οὐ γὰρ ἐν ἄλλῳ μὲν χρόνῳ γίνεται ἡ ἀφή, ἐν ἄλλῳ δὲ ἔστιν, ἀλλ’ ἅμα ἤρξατό τε καὶ εὐθὺ ἔστιν ἀφή, καὶ οὐκ ἔστιν εἰπεῖν ὅτι ἔστι μέν τι τῆς ἀφῆς, οὐδέπω δὲ ἔστιν ἡ ἀφή, ἀλλ’ ἔτι γίνεται. τῶν δὴ τοιούτων καὶ ἡ ἐνέργεια ἡ κατὰ τὰς αἰσθήσεις ἐστίν· οὐ γὰρ ἔστι γένεσις αὐτῶν, ἀλλ’ ἥ τε ἀκοὴ ἅμα τε ἀκούει καὶ ἀκήκοε, καὶ οὐκ ἔστιν εἰπεῖν ὅτι ἔστι μέν τι τῆς ἀκοῆς, γίνεται δὲ καὶ οὐδέπω ἔστιν ἀκοή· ἀλλ’ ὡς τῆς ἀφῆς πᾶν τὸ ληφθὲν μόριόν ἐστιν ἀφὴ καὶ οὐκ ἔστιν εἰπεῖν τοῦτο ἀφῆς μέν τι εἶναι, μηδέπω δὲ ἀφήν, ὁμοίως δὲ καὶ τῆς ἡδονῆς, οὕτω δὲ καὶ ἐπὶ τῆς ἀκοῆς ἔχει· ἅμα γὰρ ἀκούει καὶ ἀκήκοε · πᾶσα γὰρ ἐνέργεια αὐτῆς ἀκοὴ καὶ πᾶν μόριον· διὸ τὸ ἀκοῦον εὐθὺ τῷ ἀκούειν ἀκήκοεν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὰς αἰσθήσεις ἐνεργειῶν· ἀθρόαι γὰρ αἱ ἐνέργειαι αὐτῶν καὶ ἀντιλήψεις καὶ οὐ δεόμεναι εἰς τελείωσιν χρόνου.

in Sens.126 πρὸς μὲν γὰρ τὸ τοσαῦτα ἀκοῦσαι ἢ τοσαῦτα ἰδεῖν ἢ τοσούτων γεύσασθαι χρόνου δεῖ, πρὸς δὲ τὸ ἁπλῶς ἰδεῖν ἢ ἀκοῦσαι ἢ γεύσασθαι οὐκέτι. ἀλλ’ οὖν εἰ καὶ οὕτως ἔχουσιν αἱ αἰσθήσεις, οὐδὲν κωλύει τὰ αἰσθητὰ πρὸ τοῦ πρὸς ταῖς αἰσθήσεσιν εἶναι ἐν τῷ μεταξύ που εἶναι, ὡς μὴ ἅμα τῇ ἐκείνων κινήσει καὶ τὰς αἰσθήσεις κινεῖσθαι ὑπ’ αὐτῶν. ὡς γὰρ ἐπὶ τῆς ἀφῆς τὰ μέλλοντα ἅψεσθαι, ὅτε φέρεται πρὸς ἄλληλα, οὔπω ἅπτεται ἀλλήλων [εἰ] καὶ μὴ ἔστι τι τῆς ἀφῆς τότε, οὕτω καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἔχειν οἷόν τε, καὶ ἐπ’ ἐνίων γε φανερὸν τοῦτο. οὐ γὰρ ὁ ψόφος εὐθὺ τῷ γενέσθαι που ἤδη πρὸς τῇ ἀκοῇ ἐστιν, ἀλλὰ μετὰ τὸ γενέσθαι ἡ ἀκοὴ αὐτοῦ, ὅταν ἐνεχθῇ πρὸς αὐτήν, ἀντιλαμβάνεται. διὰ τοῦτο γοῦν οὐδὲ κατὰ ταὐτὸν ἀκούουσιν αὐτοῦ οἵ τε ἀπ’ ἐλάττονος ὄντες διαστήματος καὶ οἱ ἀπὸ πλείονος· ὕστερον γὰρ οἱ ἀπὸ πλείονος. σημεῖον δὲ παρατίθεται τοῦ μὴ ἅμα γίνεσθαί τε τὴν πληγὴν καὶ ἀκούεσθαι τὸ τοὺς τῶν λεγόντων πορρωτέρω ἀφεστῶτας ἀκούειν μὲν ψόφου τοῦ ἐκ τῆς φωνῆς, μὴ ἀκούειν δὲ τὸ ῥηθέν, διὰ τὸ ἐν τῷ μεταξὺ [τουτέστι] μετασχηματίζεσθαι [τὰ γράμματα] τὰ ἐκ τῶν γραμμάτων καὶ τῶν ἐξ αὐτῶν συγκειμένων λόγων γινόμενα ἐν τῷ ἀέρι σχήματα ὑπὸ τῆς πληγῆς καὶ μὴ τοιούτους ἀφικνεῖσθαι τοὺς ψόφους πρὸς τὴν ἀκοήν, ὁποίους αὐτοὺς οἱ λέγοντες ἐσχημάτισαν. εἴτε δὴ τῷ τὸ σχῆμα ὑπαλλάττεσθαι αὐτῶν ἐν τῇ φορᾷ εἴτε τῷ ἐκλύεσθαι τὸν τόνον τῆς πληγῆς, ὡς Στράτων λέγει (οὐ γάρ φησιν ἐν τῷ σχηματίζεσθαί πως τὸν ἀέρα τοὺς διαφόρους ψόφους γίνεσθαι, ἀλλὰ τῇ τῆς πληγῆς ἀνισότητι), ἀλλ’ οὖν, ὁποτέρως ἂν γίνηται τὸ μὴ οὕτως ἀκούεσθαι, ὡς γίνεται ἡ φορά, [καὶ] τῷ ἐν τῷ μεταξὺ διαστήματι, δι’ οὗ φέρεται, [τῷ] διαδέχεσθαι τὴν πληγὴν ἄλλον ἐξ ἄλλου ἀέρα τοῦτο γίνεται. Εἰπὼν δὲ ταῦτα περὶ τοῦ ψόφου, περὶ τῶν ἄλλων αἰσθητῶν ὡς ὁμοίως τοῖς ψόφοις γινομένων κατ’ ἐνέργειαν αἰσθητῶν οὐδὲν διαπορεῖ, περὶ δὲ τῆς ὄψεως καὶ τῶν ὁρωμένων ἀπορεῖ καί φησιν· ἆρα οὖν οὕτω καὶ τὸ χρῶμα καὶ τὸ φῶ ς ; οὐ γὰρ δὴ τῷ πῶς ἔχειν τὸ μὲν ὁρ ᾷ , τὸ δὲ ὁρᾶτα ι , ὥσπερ ἴσα ἐστίν · οὐδὲν γὰρ ἂν ἔδει που ἑκάτερον εἶνα ι .

in Sens.127 διὰ τούτου πιθανῶς τὸ μὴ κατὰ σχέσιν τῶν ὁρώντων πρὸς τὰ ὁρώμενα τὸ ὁρᾶν γίνεσθαι συνίστησιν. ἐπειδὴ γὰρ τὰ κατὰ σχέσιν τὴν πρὸς ἄλληλα τοῖα ἢ τοῖα γινόμενα οὔτε κινήσεως οὔτε χρόνου δεῖται, ὅτι μὴ οἷόν τε οὕτω λέγειν τὸ ὁρᾶν γίνεσθαι πιθανῶς ἐπεχείρησεν ἀπὸ τῶν πρός τι καὶ κατὰ σχέσιν τὴν πρὸς ἄλληλα ὄντων, ὁποῖα τὰ μὴ ποιᾶς θέσεως τῆς πρὸς ἄλληλα δεόμενα πρὸς τὸ τοιαῦτα εἶναι· οὐ γὰρ οὕτως ἢ ἐνταῦθα κείμενα ἴσα, ἄλλως δὲ ἢ ἀλλαχοῦ τεθέντα οὐκ ἴσα. οὐχ οὕτως ἐστὶ τὸ ὁρᾶν, ἀλλὰ δεῖται καὶ θέσεως ποιᾶς. πιθανῶς δέ, ὡς εἶπον, ἐπεχείρησεν· οὐ γὰρ πάντα τὰ κατὰ σχέσιν τὴν πρὸς ἄλληλα ἢ ὄντα ἢ γινόμενα ὁμοίως ἐστί· τὸ γὰρ δεξιὸν τὴν σχέσιν ἔχει ἐν ποιᾷ θέσει. δεικνὺς δὲ ὅτι μή ἐστι κατὰ σχέσιν τὸ ὁρᾶν, λέγει ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ μὲν ἴσα, ἔνθα ἂν ᾖ, τὴν αὐτὴν σχέσιν ἔχει πρὸς ἄλληλα· οὐ γὰρ ἐνταῦθα μὲν ὄντα τὰ ἴσα ἴσα ἐστίν, μετενεχθέντα δὲ οὔκ ἐστιν, ἀλλὰ ἄν τε ἅμα ᾖ ἄν τε κεχωρισμένα, τὰ ἴσα ἴσα ἐστίν. ὁμοίως καὶ τὰ ὅμοια. ἀλλὰ καὶ τὰ ἄνισα τοιαῦτα. οὐχ οὕτω φησὶν ἔχειν καὶ τὴν κατὰ τὴν ὄψιν αἴσθησιν, ὡς μηδὲν αὐτῇ διαφέρειν τὴν θέσιν τῶν ὁρωμένων καὶ τὸ διάστημα πρὸς τὸ ὁρᾶν· οὐ γὰρ πάντα τὰ ὁρατὰ ὁρᾷ οὐδὲ τὰ ὅπου δὴ ὄντα ἢ ὁπωσοῦν. τοῦτο δὲ λέγει συνηγορῶν πιθανῷ ὄντι τῷ δοκεῖν καὶ τὰ ὁρατὰ φέρεσθαι ἐπὶ τὴν ὄψιν, ὥσπερ καὶ τὰ ἄλλα, *** (οὐ γὰρ ὡς τὰ ἴσα πρὸς ἄλληλα ἔχει, οὕτω καὶ πάντα τὰ πρός τι· τὸ γὰρ δεξιόν, ὡς εἶπον, ποιᾶς θέσεως χρείαν ἔχει πρός τι ὄν, ὁμοίως καὶ τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν καὶ τὸ ἄνωθεν καὶ τὸ κάτωθεν), ἀλλ’ ὡς οὐ τούτων τῶν πρός τι δυναμένης τῆς ὄψεως εἶναι, ἅ γε οὐδὲν δέεται θέσεώς τε καὶ διαστήματος, ἐπεὶ ἐν σχέσει γε ποιᾷ αὐτῷ δοκεῖ καὶ τὸ ὁρᾶν εἶναι τοῦ τε ὁρῶντος καὶ τοῦ ὁρωμένου.

in Sens.128 ἢ δεῖται μὲν τὸ ὁρᾶν σχέσεώς τινος, οὐ μὴν ἐν τῇ σχέσει τὸ ὁρᾶν (τὸ δὲ δεξιὸν ἐν τῇ σχέσει)· ἀλλὰ καὶ δύναμίν τινα εἶναι τὴν ἀντιληπτικὴν τῶν ὁρωμένων· ἄνευ γὰρ ταύτης οὐδὲν ὄφελος πρὸς τὸ ὁρᾶν τῆς σχέσεως. διὸ τὸ μὲν ἐν τῷ διαφαίνειν καὶ κατὰ σχέσιν, τὸ δὲ ὁρᾶν οὐκέτι κατὰ σχέσιν. Εἰπὼν δὲ ταῦτα καὶ διαπορήσας λέγει· ἢ περὶ μὲν τὸν ψόφον καὶ τὴν ὀσμὴν τοῦτο συμβαίνειν εὔλογο ν . ὥσπερ γὰρ ὁ ἀὴρ καὶ τὸ ὕδωρ συνεχῆ μέ ν , ἀλ λ ’ ὅμως μεμέρισται τούτων ἡ κίνησι ς . διὸ καὶ ἔστι μὲν ὡς τὸ αὐτὸ ἀκούει ὁ πρῶτος καὶ ὁ ὕστερος καὶ ὀσφραίνετα ι , ἔστι δὲ ὡς ο ὔ . βούλεται δὲ διὰ τούτων διαφοράν τινα δεῖξαι πρὸς τὰς ἄλλας αἰσθήσεις τῆς ὄψεως, καὶ ὅτι ἐπ’ ἐκείνων μὲν ἀληθὲς τὸ πρὸ τοῦ εἶναι πρὸς τῇ αἰσθήσει τὰ αἰσθητὰ φέρεσθαι πρὸς αὐτὴν καὶ χρόνον τινὰ ἐν μέσῳ τῆς φορᾶς αὐτῶν γίνεσθαι, ἐπὶ δὲ τῶν ὁρατῶν οὐχ οὕτω. λέγει δέ· ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ, τὰ μεταξὺ τῆς τε ἀκοῆς καὶ τῆς ὀσφρήσεως, δι’ ὧν τό τε ἀκούειν καὶ τὸ ὀσφραίνεσθαι γίνεται αὐτῶν πασχόντων καὶ κινουμένων ὑπὸ τῶν αἰσθητῶν, ὁμοίως ἀλλήλοις συνεχῆ ἐστι, τὸ μὲν ὕδωρ δηλονότι τῷ ὕδατι, ὁ δὲ ἀὴρ τῷ ἀέρι (σώματα γάρ, καὶ ὥσπερ ὁ ἀὴρ συνεχὴς ἑαυτῷ, οὕτω καὶ τὸ ὕδωρ ἑαυτῷ), αἱ μέντοι κινήσεις αἱ ἐν αὐτοῖς γινόμεναι μεμερισμένως καὶ κατὰ μέρος γίνονται, πρώτου τοῦ πρώτου μέρους διατιθεμένου ὑπὸ τῶν αἰσθητῶν, εἶθ’ οὕτως διαδόσεως τῆς κατὰ τὴν κίνησιν γινομένης, ἀεὶ ὑπὸ τοῦ πρώτου παθόντος μορίου πάσχοντος τοῦ μετ’ αὐτὸ καὶ οὕτω τοῦ πάθους καὶ τῆς κινήσεως μέχρι τῶν αἰσθητηρίων διαδιδομένης. καὶ δὴ ὁ μέν τις πρῶτον ἀκούει τοῦ αὐτοῦ ψόφου, ὁ δὲ ὕστερον, ὁ μὲν κατὰ τὸ πρῶτον κινούμενον μόριον ὢν ἢ τοῦ ἀέρος ἢ τοῦ ὕδατος πρῶτος, ὁ δὲ κατὰ τὸ ὕστερον ὕστερος.

in Sens.129 τοῦ δὲ ἀμφοτέρων, τοῦ τε ὕδατος καὶ τοῦ ἀέρος, δι’ ὧν γίνεται τό τε ὀσφραίνεσθαι καὶ τὸ ἀκούειν, τὸ πάθος καὶ τὰς κινήσεις τὰς ἀπὸ τῶν ἀκουστῶν καὶ ὀσφραντῶν διῃρῆσθαι καὶ κατὰ πλείω γίνεσθαι μόρια ἅμα σημεῖον παρατίθεται τὸ πλείους αἰσθάνεσθαι τῶν αὐτῶν, καὶ τοὺς μὲν πρώτους, τοὺς δὲ ὑστέρους. διὸ καὶ πῶς μὲν τοῦ αὐτοῦ ἀκούουσί τε καὶ ὀσφραίνονται, ἔστι δὲ ὡς οὐ τοῦ αὐτοῦ. Γράφεται καὶ οὕτως· ὥσπερ γὰρ ὁ ἀὴρ καὶ τὸ ὕδωρ συνεχῆ μέ ν , μεμέρισται δὲ ἀμφοτέρων ἡ κίνησι ς . καὶ οὕτω λέγοι ἂν τῷ *** ὥσπερ γὰρ ὕδωρ καὶ ἀήρ, καὶ τὸ ὕδωρ δὲ παρατίθεται, ὅτι ὀσμὴ καὶ δι’ ὕδατος. τὸ μὲν οὖν τὰ μόρια κατὰ κίνησιν γίνεσθαι τοῦ τε ἀέρος καὶ τοῦ ὕδατος ἐν ταῖς τῶν αἰσθητῶν διαδόσεσιν ὅμοιον (διὸ καὶ ἀμφότεραι αἱ αἰσθήσεις ἐν χρόνῳ τῶν αἰσθητῶν ἀντιλαμβάνονται)· διαφορὰ δὲ τῆς ἐπὶ τῶν ψόφων καὶ τῆς ἐπὶ τῶν ὀσφρητῶν κινήσεώς ἐστιν, ὅτι ἐπὶ μὲν τῶν ὀσφραντῶν τὸ πρῶτον κινηθὲν ὑπὸ τῆς ὀσμῆς μόριον φυλάσσον ἐν αὑτῷ τὸ πάθος διαδίδωσι καὶ τῷ μεθ’ αὑτό (διὸ εἰ καὶ πρῶτοι οἱ πλησίον τῆς ὀσμῆς ὤσφραντο, ἀλλὰ καί, ὅτε οἱ πόρρω ἀντιλαμβάνονται τῆς ὀσμῆς, καὶ οἱ πλησίον ἔτι μένουσιν ὀσφραινόμενοι), ἐπὶ δὲ τοῦ ψόφου οὐχ οὕτως, ἀλλὰ μεταδίδοται ὑπὸ τοῦ πρώτου μέρους τῷ μετ’ αὐτὸ ἡ κίνησις, οὐ μένουσα ἐν τῷ πρώτῳ κινηθέντι μέρει. διὸ ἄλλοτε ἄλλοι εἰσὶν οἱ ἀκούοντες. ἔοικε γὰρ τὸ μὲν φορᾷ μᾶλλον αὐτῶν, τὸ δὲ ἀλλοιώσει. Εἰπὼν δὲ τὸ ἔστι μὲν ὡς τὸ αὐτὸ ἀκούει ὁ πρῶτος καὶ ὁ ὕστερος καὶ ὀσφραίνετα ι , ἔστι δὲ ὡς ο ὔ , πρὸ τοῦ λέγειν

πῶς ἐπὶ τῆς ὄψεως ἔχει καὶ ὅτι μὴ ὁμοίως ἐπὶ τούτων, λεγομένην τινὰ ἀπορίαν περὶ τῶν αἰσθήσεων ἱστορεῖ, ἧς δείξει λύσιν οὖσαν τὴν προειρημένην τὴν ἔστι μὲν ὡς τὸ αὐτὸ ἀκούει ὁ πρῶτος καὶ ὁ ὕστερος καὶ ὀσφραίνετα ι , ἔστι δ ’ ὡς ο ὔ .

in Sens.130 τοῦ γὰρ ἀπορουμένου τούτῳ λύσει χρήσεται. ἡ δὲ ἀπορία τοιαύτη δοκεῖ· ἀδύνατόν φησιν 〈ἄλλον〉 ἄλλῳ τὸ αὐτὸ ἀκούειν ἢ ὁρᾶν ἢ ὀσφραίνεσθα ι . εἰ γὰρ οἱ κεχωρισμένοι ἀλλήλων κατὰ ταὐτὸ εἶεν ἀντιλαμβανόμενοί τε καὶ αἰσθανόμενοι ἑνός τινος καὶ τοῦ αὐτοῦ κατ’ ἀριθμόν, εἴη ἂν ἐκεῖνο τὸ οὗ αἰσθάνονται αὐτὸ αὑτοῦ χωρί ς , εἰ κατὰ τὸ αὐτὸ ἐν τοῖς διαφέρουσιν εἴη τόποις. ἧς ἀπορίας παρατίθεται τὴν λύσιν λέγων τοῦ μὲν πρώτου κινήσαντος τὸ μεταξύ, εἴτε ὕδωρ μεταξὺ εἴτε ἀὴρ εἴη, ἅπαντας τοῦ αὐτοῦ κατ’ ἀριθμὸν αἰσθάνεσθαι· εἰ γὰρ εἴη κώδων ἡ ἠχοῦσα, ταύτης πάντας ἀκούειν μιᾶς οὔσης, εἴτε λιβανωτὸς ὁ θυμιώμενος, τούτου πάντας ὀσφραίνεσθαι, εἴτε πῦρ εἴη τὸ θερμαῖνον ἢ ὁρώμενον, καὶ τούτου πάντας τοῦ αὐτοῦ αἰσθάνεσθαι τοὺς ὑπ’ αὐτοῦ θερμαινομένους διὰ τῆς ἁφῆς ἢ τοὺς ὁρῶντας αὐτό· δι’ οὗ δὲ ἡ ἐκείνων ἀντίληψις, οὐκέτι τοῦτο πᾶσι ταὐτὸν κατ’ ἀριθμὸν εἶναι, ἀλλ’ ἑκάστῳ ἄλλο τὸ προσεχὲς καὶ ἴδιον μέρος τοῦ ἀέρος ἢ τοῦ ὕδατος, δι’ οὗ μεταξὺ ὄντος ἡ ἐκείνων ἀντίληψις· εἴδει γὰρ μόνον ταὐτὸ τοῦτο. τὸν γὰρ αὐτὸν κατ’ εἶδος ψόφον ἢ τὴν αὐτὴν ὀσμὴν ἢ τὸ θερμὸν κατ’ εἶδος παθόντα ταῦτα διαγγέλλει τε καὶ διαδίδωσι ταῖς αἰσθήσεσιν, ἄλλῃ κατ’ ἄλλο μόριον αὐτοῦ. οὕτως δὲ γινομένης τῆς τῶν αἰσθητῶν ἀντιλήψεως, οὐδὲν ἄτοπον ἅμα τοὺς αὐτοὺς τὸ αὐτὸ καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι καὶ ἀκούειν τοῦ αὐτοῦ, καὶ ὑγιὲς τὸ προειρημένον τὸ ‘ἔστι μὲν ὡς τοῦ αὐτοῦ αἰσθάνεσθαι, ἔστι δ’ ὡς οὔ.‘ Διό, φησίν, οὔτε σώματα ταῦτ α , λέγων τὰ αἰσθητά, τὸν ψόφον, τὴν ὀσμήν, τὸ χρῶμα, τὴν θερμότητα, ἀλλὰ πάθη καὶ κινήσεις, οὔτε χωρὶς σώματος· τούτου γὰρ καὶ ἐν τούτῳ πάθη. διὸ πάσχοντος τοῦ μεταξὺ σώματος καὶ διατιθεμένου πως ὑπὸ τῶν αἰσθητῶν αἱ κατὰ τὰς αἰσθήσεις ἀντιλήψεις.

in Sens.131 εἴτε γὰρ σώματα ἦν τὰ ὧν αἰσθανόμεθα, οὐχ οἷόν τε ἂν ἦν πλείους τοῦ αὐτοῦ καὶ ἑνὸς κατ’ ἀριθμὸν αἰσθάνεσθαι ἅμα (ἦν γὰρ 〈ἂν〉 αὐτὸ αὑτοῦ χωρὶς τὸ αἰσθητόν, εἰ σῶμά γε ὂν ἅμα ἐν πλείοσιν ἐγίνετο καὶ διαφέρουσιν), εἴτ’ ἄνευ σώματο ς , πάλιν οὐχ οἷόν τε αὐτῶν τὴν ἀντίληψιν γίνεσθαι. ἡ γὰρ κίνησις, δι’ ἧς ἡ ἀντίληψις, σώματος, ἀλλὰ καὶ ἡ διαίρεσις μεγέθους, καθ’ ἣν διαίρεσιν συνδιαιρουμένων τῶν παθῶν τῷ σώματι τῶν αὐτῶν πλείους αἰσθάνονται. τῷ γὰρ πάθη εἶναι καὶ κινήσεις τὰ αἰσθητὰ ἐν σώματι γινόμενα, τούτῳ πλείους ἅμα αὐτῶν αἰσθάνονται, ἅμα πασχόντων τῶν σωμάτων ὑπὸ τῶν ποιούντων τὰ πάθη κατὰ διαφέροντα μόρια. p. 446b27 Περὶ δὲ τοῦ φωτὸς ἄλλος λόγος · τῷ εἶναι γάρ τι τὸ φῶς ἐστι ν , ἀλ λ ’ οὐ κίνησίς τι ς . ὅλω ς . Εἰπὼν περὶ μὲν τὸν ψόφον καὶ τὴν ὀσμὴν εὐλόγως συμβαίνειν τὸ ταῦτα πρὸ τοῦ τὴν αἴσθησιν κινεῖν ἐν τῷ μεταξὺ γίνεσθαι τῷ κινήσεως καὶ φορᾶς καὶ διαδόσεώς τινος τοῦ αἰσθητοῦ διὰ τοῦ μεταξὺ τοῦ συνεχοῦς σώματος γινομένης τὴν ἀντίληψιν αὐτῶν καὶ τὴν αἴσθησιν γίνεσθαι (διὸ καὶ ἐν χρόνῳ ἡ τούτων αἴσθησις), οὐχ ὁμοίως φησὶν οὕτω γίνεσθαι καὶ τὸ φῶς ἐν τῷ διαφανεῖ καὶ τῷ μεταξὺ σώματι τοῦ τε ἀφ’ οὗ τὸ φῶς καὶ τῆς ὄψεως. ὁ δ’ αὐτὸς λόγος καὶ περὶ χρώματος. p. 446b27 Τῷ γὰρ ἐνεῖναί τι τὸ φῶς ἐστι ν , ἀλ λ ’ οὐ κίνησίς τι ς . Ἔστι δὲ ὃ λέγει ὅτι οὐχ ὡς ἐπὶ τοῦ ψόφου καὶ τῆς ὀσμῆς κινούμενον τὸ μεταξὺ σῶμα κατὰ διάδοσιν τοῦ πάθους, ἄλλοτε ἄλλου τοῦ πάσχοντος αὐτοῦ μέρους ὄντος, τῆς αἰσθήσεως αὐτῶν αἴτιον γίνεται, οὕτω δὲ καὶ ἐπὶ τοῦ φωτὸς καὶ τῶν ὁρατῶν.

in Sens.132 οὐ γὰρ διὰ κινήσεως ὁ ἀὴρ καὶ τὸ διαφανὲς φωτίζεται, ἀλλ’ ἀθρόον ἐκ δυνάμει διαφανοῦς ἐνεργείᾳ διαφανὲς γίνεται καὶ πεφωτισμένον, ἔχον ἐξ οὐκ ἔχοντος γινόμενον, οὐ διὰ τὸ λαμβάνειν τε καὶ κινεῖσθαι. σχέσει γὰρ καὶ παρουσίᾳ τῇ τοῦ φωτίζοντος πρὸς τὸ πεφυκὸς φωτίζεσθαι τὸ φῶς, ὡς ἐν τοῖς Περὶ ψυχῆς εἴρηται. τοῦτο γάρ ἐστι τὸ εἰρημένον ἐκεῖ τὸ ‘παρουσία πυρὸς ἢ τοῦ φωτίζειν πεφυκότος ἐν διαφανεῖ‘, ἣν παρουσίαν διὰ τοῦ ἐνεῖναι ἐδήλωσεν. ὡς γὰρ τὸ δεξιόν τινος οὐ διὰ κινήσεως δεξιὸν γίνεται οὐδὲ διὰ γενέσεως, ἀλλὰ τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ πρὸς ὃ δεξιόν ἐστι ποιᾷ σχέσει πρὸς αὐτὸ ἀθρόως οὐκ ὂν πρότερον δεξιὸν γίνεται δεξιόν, οὕτω καὶ τὸ δυνάμει διαφανὲς ἐνεργείᾳ γίνεται τοιοῦτον ἀθρόως μεταβάλλον τῇ τοῦ φωτίζειν πεφυκότος αὐτὸ πρὸς αὐτὸ σχέσει ποιᾷ. πᾶν γὰρ ὅσον δύναται ὑπὸ τῆς τοιαύτης σχέσεως τοῦ φωτίζοντος ἐνεργείᾳ γενέσθαι διαφανὲς καὶ πεφωτισμένον ἀθρόως φωτίζεται, οὐκ ἀρξάμενον πρῶτον ἀπὸ τοῦ πλησίον τῷ φωτίζοντι καὶ κατὰ διάδοσιν καὶ κίνησιν ἐν χρόνῳ ἐπὶ τὰ πορρωτέρω μέρη διεξιόν, ὡς εἶχεν ἐπὶ τοῦ ψόφου καὶ τῆς ὀσμῆς. Ὃ δὲ πρῶτον ὡς δυνάμενον λέγεσθαι περὶ τοῦ ὁρᾶν εἶπε, νῦν αὐτὸς τοῦτο κατασκευάζει εἰς δὲ τοῦτο διὰ βραχέων περὶ [τε] τὸ εἰρημένον παραμυθεῖσθαι δι' ἄλλων τινῶν ὅτι μὴ ἀδύνατον. οὐδὲ γὰρ ἐπὶ κινήσεως, φησί, πάσης ὁμοίως ἔχει. οὐ γὰρ ὁμοίως ἥ τε ἀλλοίωσις ἔχει καὶ ἡ φορά, τουτέστιν ἡ κατὰ τόπον κίνησις, γίνεται, τοῦ φερομένου πρῶτον ἐν τῷ μεταξὺ γινομένου. φορᾷ δὲ ἔοικε καὶ ἡ ἐπὶ τοῦ ψόφου γινομένη κίνησις, ὁμοίως καὶ ἡ κατὰ τὴν ὄσφρησιν. διὸ εὐλόγως αἱ τούτων ἀντιλήψεις ἐν χρόνῳ· γεγονότος γὰρ τοῦ ψόφου οὐδέπω ἀντίληψις, καὶ τοῦ ὀσφραντοῦ ὄντος ὅθεν οἷόν τέ ἐστιν αὐτοῦ ὀσφραίνεσθαι, οὐδέπω αὐτοῦ ἡ ὄσφρησις ἔστιν, ἀλλὰ χρόνου δεῖται.

in Sens.133 διὸ οὐκέτι φησὶ τὴν κατὰ ἀλλοίωσιν κίνησιν ὁμοίως γίνεσθαι ἐπὶ πάντων τῇ φορᾷ· ἐνδέχεται γὰρ ἀθρόον τι ἄρξασθαι τῆς ἀλλοιώσεως πᾶν, καὶ μὴ τὸ ἥμισυ αὐτοῦ μηδὲ τὸ μόριον πρῶτον, ὡς γίνεσθαι μὲν καὶ ταύτην ἐν χρόνῳ. οὐδὲ γὰρ εἰ ἀθρόον ἤρξατο τῆς ἀλλοιώσεώς τε καὶ τῆς πήξεως, ἤδη καὶ εὐθὺ τῷ ἄρξασθαι πέπηγε τὴν πῆξιν ἣν πήγνυται, ἀλλὰ χρόνου δεῖται. Εἰπὼν δὲ μὴ κατὰ τὴν τῶν μερῶν διάδοσιν τὴν ἀλλοίωσιν γίνεσθαι πάντως (εἶναι γάρ τι μέγεθος ἀθρόως ἀρχόμενον), προστίθησιν ὅτι ‘καὶ ἐπὶ τούτων μέντοι, εἰ πολὺ εἴη τὸ ἀλλοιούμενον οἷον τὸ θερμαινόμενον ἢ πηγνύμενον, οὐ πᾶν ἅμα ἄρχεται, ἀλλὰ τὸ ἐχόμενον ὑπὸ τοῦ ἐχομένου μέρους πάσχει τε καὶ ἀλλοιοῦται, ἀλλ' οὐ πᾶν ἀπὸ τοῦ πρώτου ἀλλοιοῦντος, μέρος μέντοι ἀθρόον ἀπ' ἐκείνου ἤρξατο τῆς ἀλλοιώσεωσ‘. ταύτην δὲ τὴν εἰκόνα παρέθετο, οὐκ ἀλλοίωσιν λέγων εἶναι τὸ φωτίζεσθαι (οὐ γὰρ οὕτως αὐτῷ δοκεῖ), ἀλλὰ βουλόμενος λαβεῖν ὅτι καὶ ἀθρόα τινὰ ὅλα δύναται μεταβάλλειν, καὶ οὐ πάντως, εἴ τι μεριστόν ἐστι, δεῖ αὐτὸ ἀπό τινος μορίου ἀρξάμενον μεταβάλλειν. εἰ οὖν ἐπὶ τῆς ἀλλοιώσεως κινήσεως οὔσης καὶ ἐν χρόνῳ γινομένης ὅμως οὐδὲν κωλύει ἀθρόον τι μέρος ἄρξασθαι τῆς μεταβολῆς, οὐδὲν παράδοξον τὸ καὶ τὸ φωτιζόμενον ἀθρόον λέγειν πᾶν δέχεσθαι τὸ φῶς, μὴ διὰ κινήσεως τοῦ φωτίζεσθαι γινομένου. ὅτι γὰρ μὴ διὰ τοῦτο τὴν ἀλλοίωσιν παρέθετο, ὡς καὶ τοῦ φωτίζεσθαι ἀλλοιώσεως οὔσης, σημεῖον εἶπεν αὐτός· οὐ μὴν ἀλ λ' , ἂν ᾖ πολὺ τὸ θερμαινόμενον ἢ πηγνύμενο ν , τὸ ἐχόμενον ὑπὸ τοῦ ἐχομένου πάσχει ν . φωτίζεσθαι δέ, ἂν πολὺ τὸ φωτιζόμενον ᾖ, οὐ τόδε πρῶτον ὑπὸ τοῦ φωτίζοντος, ἀλλ' ὅσον ἂν ᾖ τὸ φωτίζεσθαι δυνάμενον ἐν τῇ τοιᾷδε σχέσει τοῦ φωτίζοντος τῇ πρὸς αὐτό, τοῦτο ἅμα πᾶν φωτίζεται ὑπ' ἐκείνου, καὶ οὐκ ἔστι τι μόριον, ὃ νῦν μὲν οὐ πεφώτισται, μετ' ὀλίγον δέ, μένοντος τοῦ φωτίζοντος τοῦ αὐτοῦ τε καὶ ἐν τῷ αὐτῷ. Ὧι δὴ ἐχρήσατο ἐκ τοῦ παραδείγματος, ἔστι τὸ ἀθρόον τι μεταβάλλειν μέρος τοῦ ἀλλοιουμένου ὑπὸ τοῦ ἀλλοιοῦντος, ἢ εἶπεν οὕτως· τὸ δὲ πρῶτον ὑ π ' αὐτοῦ τοῦ ἀλλοιοῦντος μεταβάλλε ι , καὶ ἀνάγκη ἅμα ἀλλοιοῦσθαι καὶ ἀθρόον · τοῦτο γὰρ ἦν αὐτῷ πρὸς τὸ προκείμενον χρήσιμον, ἐπειδὴ καὶ ἡ ὄσφρησις ἀλλοιουμένου γίνεται τοῦ μεταξύ.

in Sens.134 ἴσως γὰρ οὐδὲ ἐκεῖνο ἀληθὲς τὸ πᾶν ἀθρόον τῆς ἀλλοιώσεως ἄρχεσθαι. μόριον μὲν γάρ τι τοῦ παντὸς ἀθρόον ἄρχεσθαι ὑγιές, τὸ δὲ πᾶν οὐκέτ' ἂν δόξαι, εἴ γε δεῖ, ὡς εἴρηκεν ἐν τῇ Φυσικῇ ἀκροάσει, παντὸς τοῦ κινουμένου τὸ μέν τι μόριον εἶναι ἐν τῷ ἐξ οὗ, τὸ δὲ 〈ἐν τῷ〉 εἰς ὅ· διὰ γὰρ τούτου πᾶν τὸ κινούμενον ἐδείχθη διαιρετὸν ὄν. Ὅτι δὲ ἐν σχέσει τὸ φῶς, ἀλλ' οὐκ ἐν ἀλλοιώσει, δῆλον ἀπὸ τοῦ τὰ μὲν ἀλλοιούμενα οὐκ εὐθὺ τῷ τὸ ἀλλοιοῦν ἀπελθεῖν πεπαῦσθαι τοῦ ἐγγενομένου πάθους ἐν αὐτοῖς ὑπ' αὐτοῦ (οὐ γὰρ τοῦ θερμαίνοντος ἀπελθόντος εὐθὺς καὶ τὸ θερμαινόμενον ὑπ' αὐτοῦ τῆς ἐγγενομένης ὑπ' ἐκείνου θερμότητος αὐτῷ παύεται), τὰ δὲ κατὰ τὴν πρός τι σχέσιν ὄντα τοιαῦτα, ἀπελθόντος τοῦ πρὸς ὃ ἡ σχέσις, συμπαύεσθαι καὶ ταῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἔτι εἶναι ἐν τῇ πρὸς ἐκεῖνο σχέσει· υἱοῦ γὰρ ἀποθανόντος πέπαυται καὶ ὁ πατὴρ πατὴρ ὤν, καὶ τοῦ ἀριστεροῦ ἀπελθόντος ὁ δεξιὸς οὐκέτι δεξιός ἐστιν. οὕτω δὲ ἔχει καὶ τὸ φῶς· συναπέρχεται γὰρ ἀθρόον τῷ φωτίζειν πεφυκότι. Εἰπὼν δὲ διὰ βραχέων ταῦτα, λέγει· ἦν δ' ἂν καὶ τὸ γεύεσθαι ὥσπερ ἡ ὀσμ ή , εἰ ἐν ὑγρῷ ἦμε ν . ἔστι δὲ ὃ λέγει· ὡς ἐπὶ τῆς ὀσμῆς, πόρρω ὄντος τοῦ τὴν ὀσμὴν ἔχοντος, αἰσθανόμεθα αὐτοῦ τῷ τὸν μεταξὺ ἀέρα καὶ τὸ ὕδωρ πάσχειν ὑπ' αὐτοῦ καὶ τὸ πάθος διαδιδόναι τῇ αἰσθήσει, οὕτω, φησί, καὶ ἐπὶ τῆς γεύσεως εἶχεν ἄν, εἰ ἦμεν ἐν ὑγρῷ, τουτέστιν ἐν ὕδατι, καὶ δι' ἐκείνου τὴν ἀντίληψιν τῶν χυμῶν ἐποιούμεθα. δεχόμενον γὰρ ἂν τὸ ὕδωρ τὴν ἀπὸ τῶν χυμῶν ποιότητα διὰ τοῦ γεύεσθαι αἴσθησιν ἡμῖν παρεῖχε τῶν γευστῶν πρὸ τοῦ ἐντυχεῖν ἐκείνοις, ὥσπερ καὶ ἐπὶ τοῦ ὀσφραντοῦ ποιεῖ.

in Sens.135 νῦν δὲ τοῦτο οὐ γίνεται. ὁ 〈γὰρ〉 ἀὴρ ὀσμῆς μέν ἐστι δεκτικός, ἐν ᾧ ἐσμεν, 〈καὶ πέφυκε〉 *** χυμῶν πάσχειν, ἀλλ' οὐ παντὸς ὑγροῦ, ἐπεὶ καὶ ὁ ἀὴρ ὑγρός. εὐλόγως δή, φησί, διὰ τὰ εἰρημένα ὧν ἐστιν αἰσθητῶν ἀντίληψις διά τινος μεταξύ, ταῦτα 〈τὰ〉 μεταξὺ οὐχ ἅμα πάντα πάσχε ι , οὐδ' ἅμα ἀεὶ δι' αὐτῶν ἀντιλήψεις τε καὶ αἰσθήσεις γίνονται, ἀλλ' ἐν χρόνῳ, πλὴν ἐπὶ τοῦ φωτὸς καὶ τῶν ὁρατῶν. διὰ τί δὲ εὐλόγως; ἢ ὅτι ἐκεῖνα μὲν τὰ αἰσθητὰ διὰ κινήσεως καὶ πάθους ἐγγίνεται, τοῦ μεταξὺ ἀλλοιουμένου καὶ πάσχοντος αὐτοῦ, διὸ καὶ ἐν χρόνῳ ἀπὸ τοῦ κινήσαντος τὸ πάθος τὸ ἐγγινόμενον διαδίδοται· τὸ δὲ φῶς καὶ τὰ χρώματα οὐ διὰ κινήσεως (ἐν ποιᾷ γὰρ σχέσει τοῦ φωτίζοντος πρὸς τὸ φωτιζόμενον τὸ φῶς), διὸ καὶ ἅμα πᾶν τὸ διαφανὲς φωτίζεται. οὕτως δὲ γινομένου τοῦ φωτὸς ἀχρόνως εὐλόγως καὶ τὸ ὁρώμενον ἀχρόνως τῇ ὄψει προσβάλλει, ὡς γίνεσθαι οὐ μόνον τὸ ὁρᾶν ἀχρόνως (τοῦτο γὰρ ἐδείχθη πάσαις ταῖς αἰσθήσεσιν ὑπάρχον), ἀλλὰ καὶ τὸ αἰσθητὸν ἀθρόως καὶ χωρὶς χρόνου προσπίπτειν τῇ ὄψει. αἱ γὰρ ἀπὸ τῶν χρωμάτων κινήσεις ἐν τῷ διαφανεῖ τῷ κατ' ἐνέργειαν ὁμοίως γίνονται, ὡς τὸ φῶς ἐν τῷ διαφανεῖ ἐδήλωσεν αὐτὸς εἰπών· διὰ τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ ὁρᾶν · τὸ γὰρ φῶς ποιεῖ τὸ ὁρᾶ ν . εἰ γὰρ ἐκεῖνο μὴ διὰ κινήσεως μηδ' ἐν χρόνῳ γίνεται ἐν τῷ διαφανεῖ, οὐδ' ἂν τὸ ὁρᾶν γίνοιτο ἐν χρόνῳ. διὸ καὶ εὐθὺς ἀναβλέψαντες ὁμοίως τά τε ἐγγὺς ὁρῶμεν καὶ τὰ πόρρω. p. 447a12 Ἔστι δὲ ἀπορία καὶ ἄλλη τις τοιάδε περὶ τὰς αἰσθήσει ς , πότερον ἐνδέχεται ἅμα δύο αἰσθάνεσθαι ἐν τῷ αὐτῷ καὶ ἀτόμῳ χρόν ῳ . Ἡ μὲν ἀπορία ἣν ἀπορεῖ σαφής. ζητεῖ γὰρ εἰ ἅμα πλειόνων ἔστιν αἰσθάνεσθαι, ὡς ἐν τῷ αὐτῷ χρόνῳ πλειόνων τινῶν αἰσθητῶν ἀντίληψιν γίνεσθαι, ἢ οὐχ οἷόν τε.

in Sens.136 τὸ δὲ ἀτόμῳ χρόνῳ εἶπεν οὐχ ὡς ἀδιαιρέτῳ (οὐ γὰρ ἔστιν ἀδιαίρετος χρόνος), ἀλλὰ μὴ τούτου ἐν ᾧ αἰσθανόμεθα χρόνῳ ἐν μέρει μέν τινι αὐτοῦ τοῦδε αἰσθάνεσθαι, ἐν ἄλλῳ δὲ ἄλλου, ἀλλ' ἐν τῷ αὐτῷ χρόνῳ πλειόνων. μέλλων δὲ ἐπιχειρεῖν πρῶτον ἐνδόξως εἰς τὸ μὴ οἷόν τε εἶναι λαμβάνει τινὰ καὶ τίθησιν ὡς ἐναργῆ, δι' ὧν κατασκευάσει ὅτι καὶ τὰ πλείω αἰσθητὰ ἐμποδίζει ἀλλήλοις, πρῶτον μὲν τὸ ἀεὶ τὴν μείζω κίνησιν ἐκκρούειν τὴν ἐλάττω, οὗ παρέθετο πίστιν τὸ πολλάκις ὑπὸ τοὺς ὀφθαλμούς τινων τιθεμένων ἢ φερομένων μὴ αἰσθάνεσθαί τινας, ὅταν τύχωσιν ἢ σφόδρα τι ἐννοοῦντες ἐν ἑαυτοῖς ἢ φοβούμενοι ἢ ἀκούοντες μεγάλου ψόφου (ἡ γὰρ περὶ ἄλλα σύντονος ἐνέργεια τῆς ψυχῆς κωλύει τὰς ἐλάττους ἀντιλήψεις ἐν αὐτῇ γίνεσθαι). τὸ δὲ δεύτερον τίθησι τὸ μᾶλλον ἔστιν αἰσθάνεσθαι ἀμιγοῦς καὶ ἀκράτου καὶ καθ' αὑτὸ ὄντος ἢ μεμιγμένου καὶ κεκραμένου πρὸς ἄλλο, ὃ πάλιν ἐναργῶς ἔδειξεν οὕτως ἔχον ἐπὶ παραδειγμάτων οἴνου ἀκράτου τε καὶ ὕδατι κεκραμένο υ , ὁμοίως καὶ μέλιτο ς , ὁμοίως καὶ λευκοῦ ἀκράτου καὶ ἄλλῳ μεμιγμένου τινὶ χρώματι, ὁμοίως καὶ νήτης αὐτῆς τε καθ' αὑτὴν λαμβανομένης καὶ μεμιγμένης τῇ ὑπάτῃ ἢ ἄλλῳ τινὶ φθόγγῳ ἢ τῇ διὰ πασῶν συμφωνίᾳ· ἐπὶ πάντων γὰρ τούτων τε καὶ τῶν τοιούτων εἰλικρινεστέρα τε καὶ ἀκριβεστέρα ἡ αἴσθησις ἁπλῶν λαμβανομένη τῶν αἰσθητῶν ἢ εἰ εἴη συγκείμενα καὶ κεκραμένα ἀλλήλοις. Οὗ τὴν αἰτίαν παρέθετο· διὰ γὰρ τὸ ἀφανίζειν ἄλληλα ἀφανέστερα ἕκαστα γίνεται ἐν τῇ μίξει τῇ πρὸς ἄλληλα. εἰπὼν δὲ ἀφανίζειν ἕκαστα ἐν τῇ μίξει, ἐν τίσιν ἡ μῖξις γίνεται καὶ τίνα ἐστὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφανίζοντα ἄλληλα ἐν τῇ μίξει τῷ ἐν μέσῳ που καθίστασθαι τὸ μεμιγμένον καὶ τὴν εἰλικρίνειαν ἀποβάλλειν ἕκαστον τῶν ἐν τῇ μίξει, ἐδήλωσε προσθείς· τοῦτο δὲ ποιεῖ ἐξ ὧν ἕν τι γίνετα ι .

in Sens.137 ταῦτα δὲ μίγνυταί τε ἀλλήλοις καὶ ἀφανίζει ἄλληλα ἐν τῇ μίξει, ἐξ ὧν μιγνυμένων ἕν τι δύναται γίνεσθαι. οὐ γὰρ πᾶν παντὶ μικτόν, ἀλλὰ χυμοὶ μὲν χυμοῖς, ψόφοι δὲ ψόφοις, χρώματα δὲ χρώμασι, θερμότητες δὲ καὶ ψυχρότητες ἀλλήλαις καὶ ξηρότητες καὶ ὑγρότητες, ὁμοίως καὶ αἱ ἄλλαι ἐναντιώσεις. οὐ γὰρ μίγνυται ψόφος χρώματι οὐδὲ χυμὸς ψόφῳ· οὐδὲ γὰρ δύναται ἕν τι ἐκ τῆς τῶν τοιούτων συνθέσεως γίνεσθαι. καθόλου γὰρ τὰ διαφόροις αἰσθήσεσιν αἰσθητὰ ἄμικτα τῷ εἶναι ἑτερογενῆ. ὁμογενῶν γὰρ καὶ ἐν ὁμογενέσιν ἡ μῖξις· τῶν γὰρ ἐναντίων καὶ τῶν μεταξύ. ἔχει δὴ κείμενον ὅτι τὰ αἰσθητὰ ἄλληλα ἐμποδίζει, τὰ μὲν διαφέροντα, ὡς μηδὲ αἴσθησιν γίνεσθαι τῶν ὅλων ἐλαττόνων, τὰ δὲ ὁμογενῆ καὶ μιγνύμενα τῷ ἔλαττον ἐν τῇ μίξει αἰσθητὰ εἶναι τὰ μεμιγμένα ἀλλήλοις τῶν ἀμιγῶν. τούτοις δὴ χρώμενος πειρᾶται δεικνύναι ὅτι μὴ οἷόν τε ἅμα δύο τινῶν αἴσθησιν γίνεσθαι. Προστίθησι δὲ τούτοις ὅτι οὐδέ, ὅτε ἡ ἐλάττων ὑπὸ τῆς σφοδροτέρας ἀφανίζεται ἐκκρουομένη, οὐδὲ τότε τῆς μείζονος εἰλικρινὴς ἡ ἀντίληψις γίνεται. εἰ γὰρ ἡ μείζων κίνησις ἐκκρούει τὴν ἐλάττω ἐπισκοτοῦσα αὐτῇ (διὰ τοῦτο γὰρ καὶ φοβούμενοι σφόδρα οὐχ ὁρῶμεν), ἀλλὰ καὶ ἐν τῇ μίξει τῇ πρὸς ἄλληλα οὐχ ὁμοία ἡ ἀντίληψις, ἀνάγκη ἄρα, ἂν ἅμα ᾖ τινων αἴσθησις γινομένη, τοῦ μὲν μᾶλλον κινεῖν δυναμένου, τοῦ δὲ ἧττον, καὶ αὐτὴν τὴν τοῦ μᾶλλον αἰσθητοῦ ἐν τῇ κοινωνίᾳ τῇ πρὸς ἄλλο τι αἰσθητόν, εἰ καὶ ἔλαττον εἴη ἐκείνου, ἧττον γίνεσθαι ἢ εἰ μόνον αὐτοῦ ἐγίνετο ἡ αἴσθησις. ἀφαιρεῖται γάρ τι ἀπ' αὐτῆς ἐν τῇ πρὸς τὴν ἐλάττω μίξει· κεῖται γὰρ τὸ πάντα ἁπλᾶ καὶ ἄμικτα ὄντα μᾶλλον αἰσθητὰ εἶναι. *** Τὸ ἴσως τοῖς πρώτοις ληφθεῖσιν ἀκόλουθον ὡς ἑπόμενον τοῦτο πάλιν λαμβάνει τό, ἂν ἴσαι ὦσί τινες αἰσθήσεις, τουτέστιν ἐπὶ ἴσων αἰσθητῶν, διαφερόντων δὲ καὶ ὑπὸ διαφόρους αἰσθήσεις, τὸ μηδετέρου αὐτῶν αἴσθησιν ἔσεσθαι.

in Sens.138 εἰ γὰρ τῆς μείζονος αἰσθήσεως ἀφῄρει τὴν ἐλάττω καὶ ἠφάνιζε μία γινομένη αὐτῇ, κἂν ὦσιν ἴσαι ἀμφότεραι διαφόρων οὖσαι αἰσθητῶν, ἀφανιοῦσιν ἡ ἑτέρα τὴν ἑτέραν ὁμοίως. ἁπλᾶ μὲν γὰρ ἐξ ἴσου κἂν εἶεν ἐξ ἀμφοτέρων ἅμα γινομένων· ἡ γὰρ ἁπλῆ αἴσθησις ἁπλοῦ αἰσθητοῦ. λείπεται ἄρα ἢ μηδ' ὅλως γίνεσθαι αἴσθησιν ἢ μικτήν τινα καὶ ἀπ' ἀμφοῖν μίαν. ἀλλὰ τοῦτο γίνεται ἐπὶ τῶν μίγνυσθαι δυναμένων ἀλλήλοις, ὥσπερ ἐπὶ τῶν κιρναμένων· ἐπὶ γὰρ μεμιγμένων ἡ τοιαύτη αἴσθησις. ἐκ μὲν γάρ τινων αἰσθητῶν μεμιγμένων γίνεταί τ ι , ἐκ δὲ ἐνίων οὐδὲν γίνεται τῷ μηδὲ τὴν ἀρχὴν αὐτὰ μικτὰ εἶναι, ὡς προειρήκαμεν· τοιαῦτα γὰρ τὰ ὑπὸ τὰς διαφόρους αἰσθήσεις. μικτὰ γὰρ τὰ ὁμογενῆ καὶ τὰ ὑπὸ τὴν αὐτὴν αἴσθησιν· τοιαῦτα δὲ ὧν τὰ ἔσχατα ἐναντία εἰσὶν ἀλλήλοις. ἔσχατα γὰρ ἐν ἑκάστῳ τὰ πλεῖστον ἀλλήλων διεστῶτα, τὰ δὲ πλεῖστον ἀλλήλων ἐν τοῖς ὁμογενέσι διεστῶτα ἐναντία ταῦτα δὲ ἀλλήλοις μίγνυται· ἐκ μὲν γὰρ λευκοῦ καὶ μέλανος μιγνυμένων ἕν τι γίνεται ἅμα, ἀλλὰ καὶ ἐκ τῶν μεταξὺ τούτων πρὸς ἄλληλά τε καὶ πρὸς ταῦτα μεμιγμένων· ἐκ δὲ λευκοῦ καὶ ὀξέος οὐχ οἷόν τε ἕν τι γίνεσθαι (εἰ μὴ εἴη τὸ ὀξὺ μέλαν ἢ φαινόμενόν τι ἄλλο χρῶμα, καθ' ὃ ἡ μῖξις αὐτοῦ πρὸς τὸ λευκὸν ἔσται) ἀλ λ ' ἢ κατὰ συμβεβηκό ς . ἢ εἴη ἂν κατὰ συμβεβηκὸς μεμιγμένον τὸ λευκὸν καὶ τὸ ὀξὺ καὶ ἕν τι ἄμφω, εἰ ἅμα τινὶ ἄμφω εἴη συμβεβηκότα, τὸ λευκὸν καὶ τὸ ὀξύ, ὡς τὸ λευκὸν 〈ὀξὺ〉 καὶ τὸ ὀξὺ 〈λευκὸν〉 εἶναι. ἀλλ' οὐχ οὕτως ταῦτα ἓν ὡς ἡ ἐξ ὀξέος καὶ βαρέος συμφωνία · ταῦτα γὰρ καθ' αὑτὰ μικτά· ὁμογενῆ γὰρ καὶ ὑπὸ αἴσθησιν μίαν. Ταῦτα δὲ εἰπὼν ἐπιφέρει ὡς ἐκ τῶν κειμένων δεδειγμένου τοῦ μὴ οἷόν τε εἶναι τῶν διαφόρων αἰσθητῶν ἅμα αἰσθάνεσθαι.

in Sens.139 ἢ γὰρ ἴσαι ἔσονται αἱ ἀπ' αὐτῶν κινήσεις ἢ ἡ ἑτέρα ὑπερέξει. ἀλλ' εἰ μὲν ἴσαι, ἀφανιοῦσιν ἀλλήλας · εἰ γὰρ οὐδὲ τῆς μείζονος οἷόν τε εἰλικρινῶς αἰσθάνεσθαι, ὅταν μετ' ἄλλης τινὸς ἐλάττονος γένηται, ὅταν ἴσαι ὦσι, δῆλον ὅτι ἀφανιοῦσιν ἀλλήλας· οὐ γὰρ δὴ μιχθεῖσαι ἕν τι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιήσουσιν αἰσθητόν. εἰ δὲ ἡ ἑτέρα ὑπερέχοι, ταύτης μόνης ἀντίληψις ἔσται· κεῖται γὰρ ὅτι ἡ μείζων κίνησις ἀφανίζει τὴν ἐλάττω. p. 447b6 Ἔτι μᾶλλον ἅμα δυοῖν αἴσθοιτο ἂν ἡ ψυχὴ τῇ μιᾷ αἰσθήσει ὧν μία αἴσθησι ς . Καὶ διὰ ταύτης τῆς ἐπιχειρήσεως δείκνυσιν ὅτι μὴ οἷόν τε πλειόνων ἅμα αἰσθητῶν αἰσθάνεσθαι, τῶν διαφόροις αἰσθήσεσιν αἰσθητῶν. ποιεῖται δὲ τὴν ἐπιχείρησιν κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. λέγει γὰρ ὅτι ἅμα ἡ ψυχὴ πλειόνων 〈ἂν μᾶλλον〉 αἴσθοιτο τῶν κατὰ τὴν αὐτὴν αἴσθησιν αἰσθητῶν ἢ τῶν ταῖς διαφόροις αἰσθήσεσι. τὸ δὲ τῇ μιᾷ αἰσθήσει εἶπεν ἀντὶ τοῦ ‘μιᾷ ἐνεργείᾳ καὶ ἅμα γινομένῃ‘. τὸ δὲ ὧν μία αἴσθησις συναπτέον τῷ ἅμα δυοῖν αἴσθοιτο ἂν ἡ ψυχή · τούτῳ γὰρ ἕπεται τὸ ὧν μία αἴσθησι ς . ὃ κατασκευάζων λέγει· μᾶλλον γὰρ ἡ κίνησις τῆς μιᾶς αὐτὴ ἑαυτῆς ἢ τοῖν δυοῖ ν , οἷον ὄψεως ἀκοῆς ἴσον [ἐστὶ] τῷ ‘μᾶλλον γὰρ ἡ κίνησις ἡ τῆς μιᾶς αἰσθήσεως ἅμα καὶ μία ἢ αἱ τῶν δύο αἰσθήσεων‘. ἔστι δὲ ὃ λέγει ὅτι μᾶλλον μία καὶ ἡ αὐτὴ ἡ τῆς μιᾶς αἰσθήσεως ἐνέργεια δύναται εἶναι ἢ αἱ τῶν πλειόνων· ὥστε ἃς μᾶλλον ἐνδέχεται δι’ ὁμοιότητα μίαν εἶναι, αὗται ἂν μᾶλλον ἅμα γίνοιντο ἢ αἱ πλεῖον ἀλλήλων κεχωρισμέναι. Εἰς δὲ τοῦτο ἀγαγὼν τὸν λόγον μετὰ ταῦτα δείκνυσιν ὅτι μὴ οἷόν τε τὴν μίαν αἴσθησιν πλειόνων ἅμα αἰσθάνεσθαι, ᾧ ἀκολουθήσει τὸ μηδὲ κατὰ τὰς διαφόρους αἰσθήσεις ἅμα δύνασθαι αἰσθάνεσθαι.

in Sens.140 τῇ γὰρ αὐτῇ αἰσθήσει φησὶν ἀδύνατον εἶναι ἅμα δύο τινῶν ᾐσθῆσθαι κεχωρισμένων καὶ μενόντων δύο. μεμιγμένων μὲν γὰρ καὶ οἷόν τε τῷ μηδὲ εἶναι τὰ μεμιγμένα ἔτι πλείω, ἀλλὰ ὡς ἑνὸς αἰσθάνεσθαι τῶν μεμιγμένων. τοῦ δὲ τῶν ἀμίκτων ἅμα μὴ δύνασθαι αἰσθάνεσθαι τὴν αἴσθησιν ἀπόδειξιν φέρει τὸ τοῦ ἑνὸς κατ’ ἀριθμὸν μίαν κατ’ ἀριθμὸν αἴσθησιν εἶναι. τοῦτο γὰρ σημαίνει τὸ ἡ δὲ μία ἅμα αὐτῇ · ἡ γὰρ μία ἐνέργεια τῆς αἰσθήσεως καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἅμα γίνεται. τῶν δὴ μεμιγμένων ἅμα αἰσθάνεται ἡ αἴσθησις ἐξ ἀνάγκης, ὅτι τε ἐκεῖνα ἓν καὶ τοῦ ἑνὸς κατὰ ἀριθμὸν αἰσθητοῦ μία ἡ ἐνέργεια κατ’ ἀριθμὸν ἡ τῆς αἰσθήσεως· τοῦ μὲν γὰρ ἑνὸς κατ’ ἀριθμὸν μία κατ’ ἐνέργειαν ἡ αἴσθησις. ἃ δὲ οὐ κατ’ ἀριθμὸν τὸ ἕν, ἀλλὰ κατ’ εἶδος ἢ γένος ἔχει, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν (ταῦτα γὰρ εἴδει ταὐτά), τούτων μία αἴσθησις, οὐχ ἡ κατ’ ἐνέργειαν, ἀλλὰ ἡ δυνάμει τε καὶ κατὰ δύναμιν μία. πᾶσαι γὰρ αἱ τῆς ὄψεως ἐνέργειαι δυνάμει ἅμα ἀλλήλαις, ὅτε δύναται ἡ ὄψις αὐτὰς ἐνεργεῖν. μία γὰρ αἴσθησις ἡ μὲν κατ’ ἐνέργειάν ἐστιν, ἡ δὲ κατὰ δύναμιν. τῇ οὖν κατὰ δύναμιν μιᾷ τῷ γένει τῶν αὐτῶν αἰσθητῶν αἰσθάνεται ἡ ψυχή. Λαβὼν δὲ τὸ τοῦ ἑνὸς κατ’ ἀριθμὸν αἰσθητοῦ μίαν εἶναι τὴν κατ’ ἐνέργειαν αἴσθησιν. ἀντιστρέφει αὐτὸ καὶ λέγει καὶ τὴν μίαν κατ’ ἐνέργειαν αἴσθησιν ἑνὸς κατ’ ἀριθμὸν ἔσεσθαι αἰσθητοῦ· ἡ μία ἄρα ἐνέργεια ὡς ἑνὸς καὶ μεμιγμένου τῶν πλειόνων αἰσθητῶν ἀεὶ πλείονα αἰσθάνοιτο ἄν, εἰ ἅμα αὐτῶν αἰσθάνοιτο. εἰ δὲ μὴ εἴη μεμιγμένα, δύο ἂν καὶ αἰσθήσεις καὶ ἀντιλήψεις γίνοιντο αὐτῶν καὶ τοσαῦται, ὅσα τὰ ὁμογενῆ μὲν αἰσθητά, 〈μὴ〉 μεμιγμένα δὲ ἀλλήλοις.

in Sens.141 ἀλλ’ ἀπὸ τῆς μιᾶς κατ’ ἀριθμὸν δυνάμεως τῆς ἐν ἀτόμῳ γινομένης χρόνῳ μίαν τὴν ἐνέργειαν ἀνάγκη εἶναι. τῆς γὰρ κατ’ ἀριθμὸν μιᾶς δυνάμεως ἡ εἰσάπαξ γινομένη μία χρῆσίς τε καὶ ἐνέργεια κατ’ ἀριθμόν, τουτέστιν ἑνὸς ἀντίληψις. οὐκ ἄρα ἐν τῷ αὐτῷ χρόνῳ ἅμα ἀμφοτέρων ἡ μία κατ’ ἐνέργειαν αἴσθησις ἀντιλήψεται· δύο μὲν γὰρ αἱ τῶν δύο ἀντιλήψεις, ἡ δὲ μία ἐνέργεια ἑνὸς ἀντιληπτική. κατασκευάσας δὲ τὸ μὴ δύνασθαι τῇ μιᾷ αἰσθήσει πλειόνων ἅμα ἀντιλαμβάνεσθαι κατὰ τὸ αὐτό, ἀκόλουθον τῷ τεθέντι ἐπιφέρει τὸ ἧττον ἔτι δυνήσεσθαι τὴν ψυχὴν κατὰ τὸ αὐτὸ τῶν πλείοσιν αἰσθήσεσιν αἰσθητῶν αἰσθάνεσθαι. p. 447b24 Φαίνεται γὰρ τὸ μὲν ἓν τῷ ἀριθμῷ ἡ ψυχὴ οὐδενὶ ἑτέρῳ λέγειν ἀλ λ ’ ἢ τῷ ἅμ α , τὸ δὲ τῷ εἴδει ἓν τῇ κρινούσῃ αἰσθήσει καὶ τῷ τρόπ ῳ . Καὶ τοῦτο εἰς πίστιν τοῦ τὴν μίαν ἐνέργειαν τῆς αἰσθήσεως ἑνὸς κατ’ ἀριθμὸν ἀντιληπτικὴν εἶναι παρατίθεται τὸ τὸ μὲν ἓν τῷ ἀριθμῷ ἐπικρίνειν αὐτὴν οὐδενὶ ἑτέρῳ ἢ τῷ χρόνῳ. τῷ γὰρ ἅμα καὶ ἀδιαιρέτου αὐτοῦ χρόνῳ ἀντιλαμβάνεσθαι ἓν αὐτὸ κατ’ ἀριθμὸν κρίνει· ὥστε πάντα ὅσα γινώσκει ἡ αἴσθησις ἐν ἀδιαιρέτῳ χρόνῳ ὡς ἓν κατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀριθμὸν γινώσκει. τὰ δὲ τῷ εἴδει ταὐτά τε καὶ ἕν, ὁμοίως δὲ καὶ τὰ τῷ γένει (εἶδος γὰρ νῦν ἐπὶ τῶν αἰσθητῶν καὶ τὸ γένος λέγει) τῇ τε κρινούσῃ αἰσθήσει ἐπικρίνειν φησὶν αὐτὴν καὶ τῷ τρόπῳ τῆς ἀντιλήψεως, τῇ μὲν κρινούσῃ αἰσθήσει τὰ τῷ γένει ταὐτά, τῷ δὲ τρόπῳ τῆς ἀντιλήψεως τὰ τῷ εἴδει. τὰ μὲν γὰρ ὑπὸ τῆς αὐτῆς αἰσθήσεως κρινόμενα ὁμογενῆ, τὰ μὲν ὑπ' ὄψεως ἀλλήλοις, τὰ δὲ ὑπὸ ἀκοῆς ἀλλήλοις· πάλιν ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. οὕτω μὲν οὖν τὰ τῷ γένει ταὐτὰ τῇ κρινούσῃ αἰσθήσει ὁρίζεται, τὰ δὲ τῷ εἴδει πάλιν ταὐτὰ ἀπὸ τῶν ὁμογενῶν διαιρεῖ τῷ τρόπῳ τῆς ἀντιλήψεως αὐτῶν.

in Sens.142 ἡ αὐτὴ μὲν γὰρ αὐτῶν ἀντιλαμβάνεται, οὐχ ὁμοίως δέ. ἑκάστη μὲν γὰρ αἴσθησις τῶν καθ' αὑτὴν ἐναντίων ἐστὶ κριτική, ὄψις λευκοῦ καὶ μέλανος, γεῦσις γλυκέος καὶ πικροῦ, ἀκοὴ ὀξέος καὶ βαρέος, ὁμοίως δὲ καὶ αἱ ἄλλαι. τὸ γὰρ μέλαν καὶ τὸ λευκόν, ὅτι ταὐτά ἐστι τῷ γένει, κρίνει τῷ τὴν μίαν αἴσθησιν αἰσθάνεσθαι· τῷ δὲ κατὰ διαφέροντα τρόπον καὶ κατὰ διάφορον πάθος αὐτῶν αἰσθάνεσθαι κρίνει ἕτερα ὄντα ἀλλήλων τῷ εἴδει. δῆλον δὲ ὅτι καὶ τῷ διαφέροντα τὸν χρόνον εἶναι καὶ ἡ κατὰ τὸν χρόνον διαφορὰ περιείληπται ἐν τῷ τρόπῳ τῆς ἀντιλήψεως. εἴη δ' ἂν καὶ τὰ τῷ εἴδει ταὐτὰ κρινόμενα τῇ τε κρινούσῃ αἰσθήσει οὔσῃ τῇ αὐτῇ καὶ τῇ τοῦ χρόνου διαφορᾷ μόνῃ. Ἔστι δὲ τὰ ἐναντία ἀλλήλοις ὁμογενῆ μέν, οὐ μὴν ἔτι ὁμοειδῆ· ἕτερα γὰρ τῷ εἴδει τὰ ἐναντία ἀλλήλοις. τούτων δὲ τὰς διαφορὰς ἐπικρίνει τῷ τρόπῳ τῆς ἀντιλήψεως. οὐ γὰρ ὁμοίως ἡ ὄψις λευκοῦ καὶ μέλανος ἀντιλαμβάνεται, ἀλλὰ τοῦ μὲν ὡς ἕξεως, τοῦ δὲ ὡς στερήσεως. ἐν ἅπασι γὰρ τοῖς ἐναντίοις τὸ μὲν ὡς ἕξις ἐστί, τὸ δὲ ὡς στέρησις τούτου. κρίνει μὲν οὖν τὸ λευκὸν καὶ τὸ μέλαν ἕτερα ὄντα ἀλλήλων τῷ εἴδει ἡ αὐτὴ αἴσθησις· ἡ γὰρ ὄψις τῇ κατὰ τὴν ἀντίληψιν διαφορᾷ καὶ τῷ τρόπῳ. ὁμοίως καὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν διαφέροντα καὶ αὐτὰ κατ' εἶδος ὄντα ἡ γεῦσις κρίνει. ὥστε οὐδέπω ἱκανὸν πρὸς τὸ τῷ εἴδει τινὰ ταὐτὰ εἶναι τὸ τῇ αὐτῇ αἰσθήσει αἰσθητὰ εἶναι· τῷ δὲ τρόπῳ τῆς ἀντιλήψεως τὰ τῷ εἴδει ταὐτὰ κρίνεται ὑπὸ τῆς οἰκείας αἰσθήσεως. ὁμοειδῆ γὰρ τῶν ὑπὸ τὴν αὐτὴν αἴσθησιν ἀλλήλοις ὧν ὡς ἕξεών τινων ἀντιλαμβάνεται, καὶ πάλιν αὖ ἀλλήλοις ὁμοειδῆ ὧν ὡς στερήσεων. τῶν δὲ τοιούτων ἡ κρίσις κατὰ τὴν τοῦ χρόνου διαφορὰν μόνην γίνεται. τῶν δὲ μεταξὺ τὰ μὲν τούτοις, τὰ δὲ ἐκείνοις προσνέμοιτο ἄν, κατὰ τὴν τοῦ πλείονος ἐν αὐτοῖς μῖξιν τῆς νομῆς γινομένης. Ὁμοίως δέ φησιν ἀλλήλαις τὰς αἰσθήσεις τὰ σύστοιχα ἀλλήλοις αἰσθάνεσθαι. οὐ γὰρ ἄλλως μὲν ἡ ὄψις ἕξεως καὶ στερήσεως τῶν ἐναντίων ἀντιλαμβάνεται, ἄλλως δὲ ἡ ἀκοὴ τῶν ἐν αὐτῇ ἐναντίων, καὶ ἄλλως πάλιν ἡ γεῦσις καὶ τῶν ἄλλων ἑκάστη, ἀλλὰ πᾶσαι τῶν ὑφ' ἑαυτὰς ἐναντίων ὁμοίως ἀλλήλαις καὶ ἀνάλογον· τῶν γὰρ συστοίχων ἀλλήλοις σύστοιχοι καὶ αἱ ἀντιλήψεις τε καὶ αἰσθήσεις.

in Sens.143 ὡς γὰρ ἐν χρώμασι τὸ λευκόν, οὕτως ἐν χυμοῖς τὸ γλυκύ· διὸ καὶ ὁμοίως ἡ γεῦσις γλυκέος ἀντιλαμβάνεται, ὡς ἡ ὄψις λευκοῦ. πάλιν ὡς τὸ μέλαν ἐν χρώμασιν, οὕτω τὸ πικρὸν ἐν χυμοῖς· στερήσεις γὰρ ἄμφω. οὕτω δὲ αὐτῶν καὶ αἰσθήσεις αἱ οἰκεῖαι ἀντιλαμβάνονται· ὥστε ὁμοίως ἡ ὄψις μέλανος καὶ ἡ γεῦσις πικροῦ. p. 448a1 Ἔτι εἰ τῶν ἐναντίων κινήσεις αἱ ἐναντία ι . Καὶ διὰ ταύτης τῆς ἐπιχειρήσεως δείκνυσιν ὅτι μὴ οἷόν τε τὴν αὐτὴν αἴσθησιν ἅμα πλειόνων αἰσθάνεσθαι. εἰ γὰρ διὰ κινήσεως μέν τινος αἰσθήσεις καὶ κινήσεις τινές, ἐναντίαι δὲ κινήσεις αἱ ὑπὸ τῶν ἐναντίων, ἀδύνατον δὲ ἅμα τὰ ἐναντία εἶναι ἐν τῷ αὐτῷ χρόνῳ, ἀδύνατον ἂν εἴη καὶ τῶν ἐναντίων αἰσθάνεσθαί τινα αἴσθησιν ἐν τῷ αὐτῷ χρόνῳ. ἅμα γὰρ 〈ἂν〉 τὰς ἐναντίας κινοῖτο κινήσεις. ὡς δὲ τῶν ἐναντίων ἅμα ἀδύνατον αἰσθάνεσθαι τὴν αὐτὴν αἴσθησιν, οὕτω καὶ τῶν μὴ ἐναντίω ν . ἔστι δὲ τὰ μεταξὺ τῶν ἐναντίων ταῦτα· καὶ γὰρ τούτων τὰ μὲν τοῦδε τῶν ἐναντίων, τὰ δὲ τοῦ ἑτέρου ἐστίν, ὡς προειρήκαμεν· μίξει γὰρ τῶν ἐναντίων τὰ μεταξύ, καὶ οὗ ἂν πλεῖόν τι τῶν ἐναντίων ἔχῃ, τούτῳ συντάσσεται. ὥστε οὐδὲ τῶν μεμιγμένων τε καὶ μεταξὺ ὄντων ἅμα πλειόνων ἡ αἴσθησις ἀντιλήψεται, φαιοῦ, ἂν τύχῃ, καὶ ἐρυθροῦ, ἢ τοῦ διὰ πασῶν καὶ τοῦ διὰ πέντ ε . ἐναντιώσεις γὰρ καὶ ἐν τούτοις οὖσι μικτοῖς, εἴγε ὁ μὲν διὰ πέντε φθόγγος ἔχει οὕτως, ὡς περιττὸς πρὸς ἄρτιον (ὡς γὰρ τρία πρὸς δύο), ὁ δὲ διὰ πασῶν ἔμπαλιν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς ἄρτιος πρὸς περιττόν· ὡς γὰρ δύο πρὸς ἕν. ἅμα δὲ οὐχ οἷόν τε αἰσθάνεσθαι ἀναλογίας περιττοῦ πρὸς ἄρτιον καὶ ἔμπαλιν ἀρτίου πρὸς περιττόν. Εἰπὼν δὲ μηδὲ τῶν μεμιγμένων τε καὶ μεταξὺ ὄντων ἅμα πλειόνων αἴσθησιν γίνεσθαι, προσέθηκεν ἐὰν μὴ ὡς ἓν αἰσθάνηται · οὕτως δὲ ὁ λόγος ὁ τῶν ἄκρων εἷς γίνετα ι , ἄλλως δ ’ ο ὔ .

in Sens.144 ἔστι δ’ ὃ λέγει ὅτι πλειόνων μὲν οὕτως ὡς κεκραμένων καὶ μεμιγμένων ἀλλήλοις αἰσθάνεται ἅμα· ὡς γὰρ ἑνὸς αἰσθάνεται τοῦ φαιοῦ, καίτοι ἐκ τῶν ἐναντίων συγκειμένου. ἀλλ’ ἐν τῇ τοιαύτῃ μίξει εἷς τις λόγος ἐκ τῆς τῶν ἄκρων τε καὶ ἐναντίων μίξεως γίνεται καὶ μία τις φύσις καὶ ἓν πρᾶγμα. ὥστε, ἐπεὶ ἕν τί ἐστι τὸ ἐκ τῆς μίξεως γεγονός, αἰσθάνεται τοῦ οὕτω μεμιγμένου ἅμα· ὡς γὰρ ἑνός. ὡς μέντοι κεχωρισμένων ἢ τῶν ἐξ ὧν τὸ φαιὸν μέμικται ἢ τῶν μεμιγμένων ἤδη ἀλλήλοις, ὡς ἔχει τὸ φαιὸν καὶ τὸ ἐρυθρόν, οὐκέτι ἅμα ἀντιλαμβάνεται. τὸ δὲ ἔσται γὰρ ἅμα ὁ μὲν πολλοῦ πρὸς ὀλίγον ἢ περιττοῦ πρὸς ἄρτιο ν , ὁ δὲ ὀλίγου πρὸς τὸ πολὺ ἢ ἀρτίου πρὸς περιττὸν εἴρηκεν ἐπὶ τῶν αἰσθητῶν τῶν τοιούτων, ἅ ἐστι μεταξύ. ἔσται μὲν γὰρ καὶ τούτων ἕκαστον μεμιγμένον, οὐ μέντοι ὡς ἕνα λόγον ἔχειν αὐτὰ πάντα. τὸ μὲν γὰρ αὐτῶν ἕξει, ὡς πολὺ μὲν ἔχειν τοῦ λευκοῦ, ὀλίγον δὲ τοῦ μέλανος, ὡς τὸ ἐρυθρόν, τὸ δ’ ἔμπαλιν, ὡς τὸ φαιόν, καὶ πάλιν ἐπὶ τῶν φθόγγων ὁ μὲν περισσοῦ πρὸς ἄρτιον, ὡς ὁ διὰ πέντε, ὁ δὲ ἀρτίου πρὸς περισσόν, ὡς ὁ διὰ πασῶν, οἵτινες διαφέροντες ἀλλήλων λόγοι καὶ ὑπεναντίοι. ἀλλ’ οὐκ ἴσως τὸ φαιὸν ἕνα τινὰ λόγον ἔχει, καίτοι σύνθετον, ὁμοίως καὶ ὁ διὰ πέντε φθόγγος. p. 448a13 Εἰ οὖν πλεῖον ἀπέχει ἔτι ἀλλήλων καὶ διαφέρει τὰ συστοίχως μὲν λεγόμεν α . Λαβὼν τὸ μᾶλλον δύνασθαι τὴν μίαν αἴσθησιν πλειόνων οἰκείων αἰσθητῶν ἅμα ἀντιλαμβάνεσθαι, αἰσθήσεως ἑκάστης οἰκείου τινὸς αἰσθητοῦ ἀντιλαμβανομένης, καὶ δείξας ὅτι μὴ οἷόν τε ἅμα πλειόνων τὴν μίαν ἀντιλαμβάνεσθαι ἢ πλείους ἅμα γίνεσθαι αἰσθήσεις, 〈αἰσθήσεωσ〉 ἑκάστης οἰκείου τινὸς αἰσθητοῦ ἀντιλαμβανομένης, ἐπιφέρει τοῖς κειμένοις τὸ ἀκόλουθον τὸ μηδὲ ἃ ἧττον ἐνδέχεται ἅμα δύνασθαι γίνεσθαι ἅμα.

in Sens.145 εἰ γὰρ πλεῖον ἀλλήλων διαφέρει τὰ μὴ ὁμογενῆ τῶν ὁμογενῶν (τοῖς μὲν γὰρ ἡ κατὰ τὸ γένος ὑπάρχει ταυτότης τε καὶ ὁμοιότης, τὰ δὲ καὶ ταύτης ἐστέρηται. ἔστι δὲ τῶν μὴ ὁμογενῶν τὰ μὲν σύστοιχα ἀλλήλοις καθ’ ἑκάστην αἴσθησιν, τὰ δὲ οὐ σύστοιχα μέν, ὁμοίως δὲ ἔχοντα πρὸς ἄλληλα· τῶν ταῖς διαφόροις αἰσθήσεσιν αἰσθητῶν σύστοιχα μὲν αἱ μὲν ἕξεις ταῖς ἕξεσιν, αἱ δὲ στερήσεις πάλιν ἀλλήλαις, οὐ σύστοιχα δὲ αἱ ἕξεις τῶν ἄλλῃ αἰσθήσει αἰσθητῶν τῇ στερήσει τῶν ὑπ’ ἄλλην αἴσθησιν. ὃ καὶ αὐτὸς ἐδήλωσεν εἰπὼν τὸ γλυκὺ καὶ τὸ λευκὸν καλῶ σύστοιχ α , γένει δ ’ ἕτερ α . ὁμογενῆ γὰρ τὰ ἐναντία· ὑπὸ γὰρ γένος τε ταὐτὸν καὶ μίαν αἴσθησιν· πλείων γὰρ διάστασις τῷ γλυκεῖ πρὸς τὸ λευκὸν ἢ τῷ λευκῷ πρὸς τὸ μέλαν, καὶ ἔτι πλείων τῷ γλυκεῖ πρὸς τὸ μέλαν ἢ πρὸς τὸ λευκόν· τὸ μὲν γὰρ λευκὸν καὶ μέλαν ὁμογενῆ, τὸ δὲ γλυκὺ καὶ τὸ λευκὸν ἀνομογενῆ μέν, σύστοιχα δέ, τὸ δὲ γλυκὺ καὶ τὸ μέλαν οὔτε ὁμογενῆ οὔτε σύστοιχα), εἰ οὖν τῶν ὁμογενῶν ἀδύνατον ἅμα πλειόνων αἰσθάνεσθαι, ἔτι ἂν ἧττον ἐνδέχοιτο τῶν ἀνομογενῶν καὶ ὑπὸ διαφόρους αἰσθήσεις συστοίχων ἅμα ἀντιλαμβάνεσθαι πλειόνων, καὶ ἔτι ἧττον, εἰ πρὸς τῷ ἀνομογενῆ εἶναι μηδὲ σύστοιχα εἴη. p. 448a16 Τὸ γλυκὺ δὲ τοῦ μέλανος πλεῖον ἔτι τῷ εἴδει διαφέρει ἢ τὸ λευκό ν . Καταλληλότερον καὶ σαφέστερον ἂν ἡ λέξις ἔχοι, εἰ εἴη γεγραμμένον ἢ τοῦ λευκο ῦ , ἵνα ᾖ τὸ γὰρ γλυκὺ τοῦ μέλανος πλέον ἔτι τῷ εἴδει διαφέρει ἢ τοῦ λευκο ῦ . τὸ δέ, ὅτι τὸ μὲν λευκὸν σύστοιχον (ἑκάτερον γὰρ αὐτῶν ἐν τῷ οἰκείῳ γένει ὡς ἕξις ἦν), τὸ δὲ μέλαν στέρησις ὂν οὐδὲ σύστοιχον ἔτι ἐστὶ τῷ γλυκεῖ. p.

in Sens.146 448a19 Ὃ δὲ λέγουσί τινες τῶν περὶ τὰς συμφωνία ς , ὅτι οὐχ ἅμα μὲν ἀφικνοῦνται 〈οἱ ψόφο ι , φαίνονται〉 δ έ . Κατασκευάσας δι’ ὧν ἐπικεχείρηκε τὸ μὴ δύνασθαι ἅμα πλειόνων αἴσθησιν γίνεσθαι, ᾧ χρώμενοί τινες πειρῶνται δεικνύναι τὸ μὴ γίνεσθαι μὲν ἅμα πλειόνων αἴσθησιν, φαίνεσθαι δέ, τοῦτο τίθησι καὶ δείκνυσι ψεῦδος ὄν, ἐνδεικνύμενος ὅτι μὴ ταύτῃ οἷόν τε τῇ λύσει προσχρωμένους δεικνύναι ὅτι μὴ ἅμα πλειόνων αἰσθανόμεθα. ἦν δὲ τὸ λεγόμενον τὸ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοκοῦντα αἰσθητὰ ἅμα κινεῖν τὴν αἴσθησιν μὴ ἅμα μὲν κινεῖν, ἀλλ' ἐν χρόνοις διαφόροις, τῷ δὲ εἶναι τοὺς μεταξὺ χρόνους ἀνεπαισθήτους ταύτῃ δοκεῖν ἅμα γίνεσθαι. δείκνυσι δὴ τοῦτο ψεῦδος ὂν διὰ τοῦ δεῖξαι ὅτι μηδὲ εἷς ἐστι χρόνος ἀναίσθητος τῇ αὑτοῦ φύσει. χρήσιμον δὲ τοῦτο δειχθὲν εἴη ἂν καὶ πρὸς τὰ ἐφθακότα περὶ τῆς ὄψεως εἰρῆσθαι, ὅτι μήτε τὸ φῶς χρόνῳ ὁρᾶται μήτ' ἄλλο τι τῶν ὁρατῶν· ἅμα γὰρ ἀναβλέψαντες καὶ τὰ ἐγγὺς ὁρῶμεν καὶ τὰ πόρρω. ὃ ἀναιρεῖσθαι δύναιτο ἄν, εἰ εἴη κείμενον τὸ εἶναί τινας ἀναισθήτους χρόνους· λέγοιτο γὰρ ἂν ὅτι μὴ ἅμα μὲν ὁρῶμεν, δοκοῦμεν δὲ διὰ τοὺς ἀναισθήτους χρόνους. τίθησι δὴ πρῶτον τὴν δόξαν καὶ μνημονεύει τῶν ἁρμονικῶν καὶ τῶν περὶ τὰς συμφωνίας, ὡς ἐκείνων χρωμένων τῇ δόξῃ ταύτῃ καὶ λεγόντων ὅτι μὴ ἅμα μὲν οἱ ἀπὸ τῶν ἡρμοσμένων ὀργάνων καὶ κρουομένων συμφώνως ἀφικνοῦνται ψόφοι πρὸς τὴν ἀκοήν, ἀλλ' ἐν διαφόροις χρόνοις, φαίνονται δὲ ἅμα γίνεσθαι καὶ εἷς τις ἦχος ἐξ ἁπάντων καὶ μὴ διαλείπειν ἡ ἀκοή, ἀλλ' ὡς συνεχοῦς ἀκούειν τοῦ ψόφου διὰ τὸ ἀναισθήτους εἶναι τοὺς μεταξὺ τῶν φερομένων ἐπ' αὐτὴν ψόφων χρόνους. χρῶνται δὲ τοῖς ἀναισθήτοις χρόνοις καὶ οἱ κατὰ εἰδώλων ἐμπτώσεις τὸ ὁρᾶν γίνεσθαι λέγοντες. τοῦτο οὖν, φησίν, ἐξεταστέον, εἴτε ὀρθῶς λέγεται εἴτε μή. καὶ τοῦ δεῖν ἐνταῦθα αὐτὸ ἐξετάζεσθαι τὴν αἰτίαν παρέθετο. p. 448a22 Τάχα γὰρ ἂν φαίη τις καὶ νῦν παρὰ τοῦτο δοκεῖν ἅμα ὁρᾶν καὶ ἀκούει ν , ὅτι οἱ μεταξὺ χρόνοι λανθάνουσι ν . Εἰ γὰρ τοῦτο οὕτως ἔχοι, εἴη ἂν λύσις τῶν ἀπορεῖσθαι δυναμένων πρὸς ἃ κατεσκεύασεν ὡς νῦν δεικνὺς ὅτι μὴ οἷόν τε ἅμα πλειόνων αἰσθάνεσθαι.

in Sens.147 ἀποροῖτο μὲν γὰρ ἄν, πῶς δοκοῦμεν ἅμα πλειόνων αἰσθάνεσθαι, εἰ μὴ τοῦτο οἷόν τε. λύοιτο δ' ἂν ἐν τῇ τῶν μεταξὺ χρόνων ἀναισθησίᾳ, εἰ εἴη τις χρόνος ἀναίσθητος. εἰ δὲ μηδεὶς χρόνος τοιοῦτος, ἄλλῳ τινὶ χρηστέον, ἀλλ' οὐ τούτῳ. ὅτι οὖν μηδένα χρόνον ἐνδέχεται ἀναίσθητον εἶναι, δείκνυσι. δεῖ δὲ ἡμᾶς προλαβεῖν ὅτι ὁ χρόνος αἰσθητὸν οὐ καθ' αὑτό ἐστιν. οὐ γάρ ἐστιν ὁ χρόνος ὑποκειμένη τις φύσις ἧς αἰσθανόμεθα, ἀλλὰ τῷ τῶν ἐν αὐτῷ γινομένων τε καὶ ὄντων αἰσθάνεσθαι ἡμᾶς, τούτῳ καὶ ὁ χρόνος αἰσθητός ἐστιν. εἴη ἂν οὖν ἀναίσθητος χρόνος οὗτος, ἐν ᾧ μηδενὸς οἷόν τε τῶν ἐν αὐτῷ γινομένων αἴσθησιν γίνεσθαι. εἰ δὲ μηδεὶς εἴη τοιοῦτος, ἀλλ' εὑρίσκοιτο ἐν παντὶ μορίῳ χρόνου αἴσθησίς τινος τῶν ἐν αὐτῷ γινομένων οὖσα, οὐδεὶς ἂν εἴη χρόνος ἀναίσθητος. οὐ γὰρ εἴ τινα τῶν γινομένων ἐν χρόνῳ ἀναίσθητά ἐστι, διὰ ταύτην τὴν αἰτίαν καὶ ὁ χρόνος ἀναίσθητος ὁ ἐν ᾧ ταῦτα γίνεται. ἀλλ' εἰ μὲν ἐν τῷ αὐτῷ χρόνῳ, ἐν ᾧ τὰ ἀναίσθητα ἔστι τε καὶ γίνεται, μηδενὸς ὅλως οἷόν τε αἰσθέσθαι, εἴη ἂν οὗτος ὁ χρόνος ἀναίσθητος· εἰ δὲ ἄλλων τινῶν ἐν τῷ αὐτῷ χρόνῳ αἰσθανοίμεθα, οὐ διὰ τὸν χρόνον 〈ἂν〉 ἀναίσθητα ἐκεῖνα εἴη οὐδ' ἂν ὁ χρόνος δι' ἐκεῖνα ἀναίσθητος λέγοιτο. δύναται γὰρ ἀναίσθητά τινα καὶ ἐν ἐνιαυτῷ ὅλῳ κινεῖσθαι, ὧν τῆς κινήσεως οὐκ ἔστιν ᾐσθῆσθαι, οἷον εἰ εἴη τινὰ διὰ σμικρότητα ἐκπίπτοντα τὴν αἴσθησιν σώματα· ἀλλ' οὐ διὰ τοῦτο ὁ τοσοῦτος χρόνος ἀναίσθητος, ἀλλ' αἰσθητός, ὅτι ἄλλων τινῶν αἰσθανόμεθα ἐν αὐτῷ. ἂν δὴ δείξῃ ἐν παντὶ χρόνῳ αἴσθησίν τινος ἔχοντας ἡμᾶς, εἴη ἂν ἀνῃρηκὼς τὸ εἶναί τινα χρόνον ἀναίσθητον. ὅτι οὖν παντὸς ἐνδέχεται ἡμᾶς αἰσθάνεσθαι χρόνου, τουτέστιν ἐν παντὶ χρόνῳ αἰσθάνεσθαί τινος, οὕτω δείκνυσιν· εἰ, ὅτε τις ἑαυτοῦ αἰσθάνεται αἰσθανομένου καὶ ἐν χρόνῳ, ἀδύνατον τότε λανθάνειν αὐτὸν ἑαυτὸν ὅτι ἔστι τε καὶ αἰσθάνεται, ἀδύνατον ἄρα εἶναί τινα χρόνον ἀναίσθητον.

in Sens.148 ὃ κατασκευάζει ἐκ τοῦ, εἰ εἴη τις ἀναίσθητος χρόνος, ἔσεσθαι αὐτὸν καὶ ἐν τούτῳ τῷ συνεχεῖ χρόνῳ ἐν ᾧ τις αἰσθάνεται αἰσθανομένου ἑαυτοῦ, εἰ δὲ τοῦτο, ἐν τούτῳ τὸν αἰσθανόμενον μήτε τούτων αἰσθήσεσθαί τινος ὧν αἰσθάνεται μήτε αὑτοῦ αἰσθανομένου καὶ ὄντος. εἰ γὰρ εἴη τοιοῦτον, δῆλον ὡς ἐν ἐκείνῳ τῷ χρόνῳ λήσεταί τις αὑτὸν καὶ ὅτι αἰσθάνεται καὶ ὅτι ἔστι, καὶ οὐκ αἰσθήσεται ὄντος ἑαυτοῦ· ὥστε ἐν ᾧ χρόνῳ αἰσθάνεται τις ἑαυτοῦ αἰσθανομένου, καὶ οὐκ αἰσθήσεται οὔτε ὄντος ἑαυτοῦ οὔτε αἰσθανομένου· ὃ ἀδύνατον· πᾶς γάρ, ὅτε αἰσθάνεται, ἑαυτοῦ ὄντος τε καὶ αἰσθανομένου συναισθάνεται. ὁμοίως δέ, ὡς ἐφ' ἑαυτοῦ, κἂν ἄλλου αἰσθανομένου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἴσθηται τις, ἀδύνατον, κἀκείνου ὅτε αἰσθάνεταί τις αἰσθανομένου, μὴ αἰσθάνεσθαι καὶ ὅτι ἔστιν 〈καὶ ὅτι〉 αἰσθάνεται, ἀλλὰ διαλείπειν τινὰ χρόνον καὶ μὴ αἰσθάνεσθαι ὄντος αὐτοῦ. εἰ δὲ μηδεὶς ἔστι χρόνος, ἐν ᾧ ἐνεργοῦντες καὶ αἰσθανόμενοι λανθάνομεν ἑαυτοὺς ὅτι ἔσμεν, οὐδεὶς ἂν εἴη τῇ ἑαυτοῦ φύσει χρόνος ἀναίσθητος. οὐ γὰρ εἰ κοιμώμενοι λανθάνομεν ἑαυτοὺς ὅτι ἔσμεν, ἀναίσθητος οὗτος ὁ χρόνος· ἄλλοι γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ αἰσθάνονται, καὶ ἡμεῖς δέ, ἐὰν ἐγρηγορότες ὦμεν. οὐ γὰρ ὑπὸ τῶν οὐκ αἰσθανομένων ἀναίσθητος κρίνεται χρόνος ἢ ὅλως τι ἀναίσθητον· πάντα γὰρ ἐκείνοις ἀναίσθητα, καὶ χρώματα καὶ ψόφοι καὶ ὀσμαὶ καὶ χυμοὶ καὶ τὰ ἁπτά. p. 448a30 Ἔτι οὐκ ἂν εἴη οὔτε χρόνος οὔτε πρᾶγμα οὐδὲν ὃ αἰσθάνεται ἢ ἐν ᾧ μὴ οὕτω ς , ὅτι ἐν τούτου τινὶ ἢ ὅτι τούτου τι ὁρ ᾷ , εἴπερ ἔστι τι μέγεθος καὶ χρόνου καὶ πράγματος ἀναίσθητο ν . Καὶ διὰ ταύτης τῆς ἐπιχειρήσεως ἔτι ταὐτὸν δείκνυσιν, ὅτι γὰρ μηδεὶς χρόνος ἐστὶν ἀναίσθητος, συναποδείκνυσί τε αὐτῷ ὅτι μηδὲ μέγεθός τι καὶ μέρος αἰσθητοῦ ἀναίσθητον οἷόν τε εἶναι τῇ αὑτοῦ φύσει.

in Sens.149 ἕπεται γὰρ ταῦτα ἀλλήλοις· καθ' οὓς γὰρ ἀναίσθητά τινα καὶ ἀμερῆ σώματα ἔστι τῇ αὑτῶν φύσει, κατὰ τούτους καὶ κινήσεις εἰσὶν ἀναίσθητοι καὶ χρόνοι. ἡ δὲ δεῖξις ἀσαφῶς μὲν εἴρηται, ἐκλαβόντι δὲ τὴν διάνοιαν εἴη ἂν τοιαύτη· εἴ ἔστι μόριόν τι τοῦ χρόνου ἢ τοῦ μεγέθους ἀναίσθητον, οὔτε χρόνος τις ἔσται, ἐν ᾧ αἰσθανόμεθα, οὔτε μέγεθός τι, οὗ αἰσθανόμεθα, ἁπλῶς καὶ κυρίως· ἀλλ' ἐν παντὶ χρόνῳ, ἐν ᾧ λέγομεν αἰσθάνεσθαι, οὕτως ἐσόμεθα αἰσθανόμενοι, οὐχ ὅτι ἐν τούτῳ, ἀλλ' ὅτι τῶν τούτου τινί, καὶ παντὸς μεγέθους αἰσθησόμεθα, οὐχ ὅτι τούτου αἰσθανόμεθα (οὐδενὸς γὰρ ὅλου αἰσθησόμεθα), ἀλλ' ὅτι τῶν τούτου τινός. ἀλλὰ μὴν ὅσα ἐν χρόνῳ λεγόμεθα αἰσθάνεσθαι οὕτω τῷ ἐν μορίῳ τινὶ αὐτοῦ αἰσθάνεσθαι ἢ μεγέθη τῷ μὴ ὅλων, ἀλλὰ μορίων τινῶν αὐτῶν αἰσθάνεσθαι, διὰ τοῦτο ἀληθεύομεν, ὅτι ἔστι τις πρῶτος χρόνος τοῦ ἐν ᾧ αἰσθανόμεθα παντί, καὶ ἐπὶ τοῦ μεγέθους, ὅτι ἔστι τι μόριον τούτου οὗ πρώτου καὶ παντὸς αἰσθανόμεθα. πᾶν γὰρ τὸ κατά τι καὶ κατὰ μόριον ἀληθὲς τότε ἔστιν λαβεῖν, ὅταν ᾖ λαβεῖν ἐκείνου μόριόν τι, ὃ πρῶτον τοιοῦτόν ἐστι. λευκόν τε γὰρ κατὰ μόριον τότε ἀληθές ἐστιν, ὅταν ᾖ τι μόριον αὐτοῦ λαβεῖν, ὃ μηκέτι λαβεῖν κατ' ἄλλο καὶ κατ' ἄλλο μόριον λευκόν ἐστιν, ἀλλ' ἁπλῶς τε καὶ πρώτως· καὶ κινεῖσθαι κατὰ μόριον τότε λέγεται ἀληθῶς, ὅταν ᾖ τι μόριον αὐτοῦ λαβεῖν, ὃ πᾶν, ἀλλ' οὐ κατὰ μόριον αὐτοῦ κινεῖται. ἐν οἷς γὰρ οὐδέν ἐστι μόριον, καθ' οὗ τὸ κατηγορούμενον ὅλου ὡς κατὰ μόριον αὐτοῦ ὑπάρχον ὅλου τε καὶ πρώτως κατηγορηθήσεται, 〈κατηγορηθήσεται〉 τούτων οὐκ ἀληθῶς τὸ κατὰ μόριον αὐτοῖς ὑπάρχειν ἐκεῖνο ὃ κατηγορεῖται. ὡς οὖν ἐπὶ τῶν ἄλλων, οὕτω καὶ ἐπὶ τῶν προκειμένων ἕξει. εἰ γὰρ μηδὲν εἴη τοιοῦτον μήτε ἐν χρόνῳ μήτε ἐν αἰσθητῷ, ἐν ᾧ πρώτῳ αἰσθησόμεθα ἢ οὗ πρώτου, οὐδ' ἂν τὸ κατὰ μόριον τοῦ χρόνου αἰσθάνεσθαι ἢ μορίου τινὸς τοῦ μεγέθους ἀληθὲς εἴη· ἀναιρουμένου γὰρ τοῦ πρώτως ἀναιρεῖται καὶ τὸ κατ' ἄλλο. ἀλλὰ μὴν ἀναιρεῖται τὸ πρώτως, εἰ χρόνος τις εἴη ἀναίσθητος ἢ μέγεθος· πᾶς γὰρ ὁ λαμβανόμενος χρόνος ἕξει τινὰ ἐν αὑτῷ μόρια ἀναίσθητα, ὥστε ἐν οὐδενὶ οὕτως αἰσθησόμεθα, ὡς πρώτως ἐν αὐτῷ αἰσθάνεσθαι, ἀλλ' ὡς ἔχοντι ἐν αὑτῷ μόρια ἐν οἷς αἰσθανόμεθα.

in Sens.150 ὁμοίως καὶ πᾶν μέγεθος ἕξει τινὰ μόρια ἀναίσθητα, ὥστε οὐδὲ μεγέθους τινὸς αἰσθησόμεθα τῷ ὅλου αἰσθάνεσθαι, ἀλλὰ τῷ ἔχειν τινὰ μόρια αὑτοῦ αἰσθητά. οὔτε ἄρα ἐν χρόνῳ πρώτῳ τινὶ αἰσθησόμεθα οὔτε πρώτως τινὸς αἴσθησιν ἕξομεν· μὴ 〈ὄντος δὲ τοῦ〉 πρώτως τινός, οὐδέ τινος κατ' ἄλλο τῶν ἐν οἷς οὐκ ἔστι τὸ πρώτως. οὔτε ἄρα ἐν χρόνῳ αἰσθησόμεθα οὔτε μεγέθους τινός. ὅτι δέ, εἰ ἔστι χρόνος τις ἀναίσθητος ἢ μέγεθος τῇ αὑτοῦ φύσει, οὔτε ἐν χρόνῳ τινὶ πρώτῳ οὔτε μεγέθους τινὸς πρώτως αἰσθησόμεθα, αὐτὸς οὕτω δείκνυσιν. p. 448b4 Εἰ γὰρ τὴν ὅλην ὁρ ᾷ , καὶ αἰσθάνεται τὸν αὐτὸν συνεχῶς χρόνον οὕτω τῷ ἐν τούτου τιν ί . ἀφῃρήσθω τὸ Γ Β , ἐν ᾧ 〈οὐκ〉 ᾐσθάνετ ο . Διὰ γὰρ τούτων τὸ προκείμενον δείκνυσιν ἐπὶ στοιχείων, ὅτι μήτε τις χρόνος πρώτως ἔσται ἐν ᾧ τις αἰσθήσεται μήτε αἰσθητόν τι ὃ μὴ τῷ τῶν τούτου τι αἰσθητὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι αἰσθητόν ἐστιν, ἀλλὰ καθ’ αὑτό. σφόδρα δὲ ἐπιτετμημένως τὴν δεῖξιν ποιεῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ἔστι τις ἀναίσθητος χρόνος, δῆλον ὅτι καὶ ἐν τούτῳ ἔσται ἀναίσθητός τις χρόνος, ἐν ᾧ συνεχῶς αἰσθανόμεθά τινος· ἔσται οὗτος ὁ ΑΒ. ὁμοίως καὶ εἰ ἀναίσθητον ἔστι τι, τοῦ αἰσθητοῦ μέρος ἔσται, καὶ ἐν τούτῳ, οὗ αἰσθανόμεθα ἐν τῷ ΑΒ χρόνῳ, ἀναίσθητά τινα μόρια ἔσται. καὶ τούτου, οὗ αἰσθανόμεθα ἐν τῷ ΑΒ χρόνῳ, τὸ μέγεθος ΑΒ. τοῖς γὰρ αὐτοῖς στοιχείοις χρῆται καὶ ἐπὶ τοῦ χρόνου καὶ ἐπὶ τοῦ αἰσθητοῦ.

in Sens.151 θηλυκῶς δὲ ἐκφέρει τὸ αἰσθητὸν ὃ λαμβάνει μέγεθος, λέγων ἐν ταύτης τινὶ ἢ ταύτης τ ι , ἐπὶ γραμμῶν τε τὴν δεῖξιν ποιούμενος καὶ ὄντος καὶ τοῦ χρόνου γραμμῆς, ἐφ’ ἧς πρώτως ΑΒ, καὶ τοῦ μεγέθους ὁμοίως. εἰπὼν δὲ εἰ γὰρ τὴν ὅλην ὁρᾷ ἐπὶ τοῦ ὁρωμένου μεγέθους, ἐπὶ τοῦ χρόνου πάλιν τὰ αὐτὰ λέγων οὕτως εἶπε· καὶ αἰσθάνεται τὸν αὐτὸν συνεχῶς χρόνο ν , ἀντὶ μὲν τοῦ ὁρᾶν τὸ αἰσθάνεσθα ι , ἀντὶ δὲ τοῦ ὅλου τὸν αὐτὸν συνεχῶς χρόνον · ἴσον γὰρ τοῦτο τῷ ὅλῳ τινὶ χρόνῳ. ἃ λαβὼν ἀφαιρεῖ ἀπὸ τοῦ χρόνου τοῦ ΑΒ τὸ ΓΒ. τὸ μὲν οὖν ἐν ταύτης τινὶ ἐπὶ τοῦ χρόνου καὶ τῆς κατὰ τοῦτον γραμμῆς, λέγει δὲ τὸ ταύτης τι ἐπὶ τῆς τοῦ ὁρωμένου μεγέθους. Πῶς δὲ τὸ ὁρώμενον κατὰ μέρος ὁρᾶται ἔδειξεν ἐπὶ τῆς γῆς, ὥσπερ τὸν χρόνον ἐπὶ τοῦ ἐνιαυτοῦ· τὴν μὲν γὰρ γῆν ὁρᾷ τις, ὅτι τόδε τι μέρος αὐτῆ ς , ἐν δὲ τῷ ἐνιαυτῷ βαδίζε ι , ὅτι ἐν τῷδε τῷ μέρει αὐτο ῦ . τὸ δὲ οὐκοῦν ἐν ταύτης τινὶ ἢ ταύτης τι ἐξηγητικόν ἐστι τοῦ πῶς λέγεται τὸ ἐν τούτου τιν ί , ὡς ἂν εἰ ἔλεγεν· οὐκοῦν τοιοῦτόν ἐστι τὸ ἐν ταύτης τινὶ καὶ ταύτης τ ι , ὁποῖον δή ἐστιν, ὅταν ἐπὶ τῆς γῆς λέγωμεν ὅτι ὁρᾶται ἁπλῶς· τῷ γὰρ μόριον αὐτῆς ὁρᾶσθαι οὕτω λέγεται ὁρᾶσθαι ἡ γῆ· ὁμοίως καὶ ἐν τῷ ἐνιαυτῷ λέγεται τῷδε τὰ Ὀλύμπια, ὅτι ἐν τῷδε τῷ μορίῳ αὐτοῦ. εἰ οὖν τις ὅλης τῆς ΑΒ ἐν τῷ ΑΒ χρόνῳ συνεχῶς αἰσθάνεται, ἔχει δὲ ὁ χρόνος ἐν αὐτῷ μόριά τινα 〈ἀν〉 αίσθητα (τούτου γὰρ δηλωτικὴ ἡ λέξις ἡ λέγουσα οὕτως ὅτι ἐν τούτου τιν ί) , εἰ δὴ ἔχει ὁ ΑΒ χρόνος, ἐν ᾧ συνεχῶς κεῖται [τι] αἰσθάνεσθαί τινος, ἀναίσθητά τινα ἐν αὐτῷ, ἀφῃρήσθω ταῦτα· καὶ ἔστω τοῦτο τὸ ΓΒ μέρος τοῦ ΑΒ χρόνου.

in Sens.152 ἀφαιρεθέντος 〈δὴ〉 δῆλον ὅτι ἐν τῷ καταλειπομένῳ τῷ ΑΓ τοῦ αὐτοῦ αἰσθήσεται. ἐν γὰρ τούτῳ τῷ μορίῳ ἀναισθήτῳ ὄντι οὐδενὸς ᾐσθάνετο, οὐδὲ τὸ συνημμένον τῷ χρόνῳ, ἐν ᾧ ᾐσθάνετο, ἐν τούτῳ τι αἰσθάνεται τῷ ἐν τούτου τινὶ αἰσθάνεσθαι· τοῦ γὰρ ΑΒ χρόνου μόριον τὸ ΑΓ, ἐν ᾧ αἰσθάνεται τούτου , οὐκ ἐν τῷ Β χρόνῳ αἰσθάνεσθαι ἔκειτο. ἀσαφῆ δὲ τὴν λέξιν ἐποίησεν αὐτὸς τόν τε χρόνον θηλυκῶς σχηματίσας καὶ συμπλέξας ἅμα καὶ τὴν ὁρωμένην γῆν, ὡς τοῦ αὐτοῦ συμβαίνοντος καὶ ἐπὶ τοῦ ὁρωμένου, ὅπερ ἐδείχθη καὶ ἐπὶ τοῦ χρόνου, ἐν ᾧ ἐτέθη ὁρᾶσθαι τὸ ὁρώμενον ἔχον ἐν ἑαυτῷ ἀναίσθητα. ἀφαιρεθέντων οὖν τούτων (ἔστω πάλιν τὸ ΓΒ) τὸ καταλειπόμενον ὁμοίως καὶ ὡς τὸ αὐτὸ ὁραθήσεται, τῷ τὰ ἀναίσθητα μόρια μηδέ, ὅτε ἦν σὺν τῷ ὅλῳ, συντελεῖν τι εἰς τὴν γινομένην αἴσθησιν αὐτοῦ. ὅλον ἄρα τὸ ΑΒ ἑωρᾶτο οὐ καθ’ αὑτό, ἀλλὰ τῷ τῶν τούτου τι ὁρᾶσθαι. Καὶ τὸ μὲν δεικνύμενον τοῦτο. αὐτὸς δὲ οὕτως εἴρηκεν οὐκοῦν ἐν ταύτης τινὶ ἢ ταύτης τ ι , τὸ μὲν ταύτης τινὶ τῆς κατὰ χρόνον διαστάσεώς τε καὶ συνεχείας λέγων, τὸ δὲ ταύτης τι τῆς τοῦ ὁρωμένου διαστάσεως. ἔστι γὰρ τὸ συμπέρασμα τῶν δεδειγμένων τὸ μήτε ἐν τῇ κατὰ χρόνον διαστάσει τῇ ΑΒ ὅλῃ ὁρᾶν τὸ ὁρῶν, ἀλλ’ οὕτως ἐν ταύτῃ ὡς ἐν ταύτης τιν ί , μήτε τὴν τοῦ ὁρωμένου διάστασιν τὴν ΑΒ ὅλην ὁρᾶσθαι, ἀλλὰ τῷ ταύτης τ ι . ἀφ’ ἑκατέρας γὰρ διαστάσεως ἀφαιρεθείσης τῆς ΓΒ διαστάσεως ἀναισθήτου οὔσης ἡ καταλειπομένη διάστασις οὐδὲν ἐμειοῦτο, οὔτε ἡ ἐν χρόνῳ καθ’ ἣν ἑώρα οὔτε ἡ ἐν τῷ ὁρατῷ ἥτις ἦν ὁρωμένη. Εἰπὼν δὲ διὰ βραχέων ταῦτα ὑπομιμνήσκει ἡμᾶς πῶς λέγεται τὸ κατ’ ἄλλο ὁρᾶσθαί τι καὶ μὴ πρώτως μηδ’ ἐν χρόνῳ πρώτῳ, ἀλλὰ τῷ τῶν τούτου τιν ί , δεικνὺς ὅτι τὸ ἐπὶ τῶν δεδειγμένων συμβαῖνον ὅμοιον τούτοις ἐστί.

in Sens.153 λέγει γάρ· ὥσπερ τὴν γῆν ὁρᾷ ὅλη ν , ὅτι τοδὶ αὐτῆ ς , καὶ ἐν τῷ ἐνιαυτῷ βαδίζε ι , ὅτι ἐν τῷδε τῷ μέρει αὐτοῦ · ὡς γὰρ ἐπὶ τούτων ἔχει, οὕτω γίνεται καὶ ἐπὶ παντὸς χρόνου, ἐν ᾧ τις αἰσθάνεται, καὶ ἐπὶ παντὸς μεγέθους, οὗ τις αἰσθάνεται. ἃ ἐν μέσῳ θεὶς ὧν ἔλαβε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμπερασμάτων διὰ τοῦ οὐκοῦν ἐν ταύτης τινὶ ἢ ταύτης τ ι , τὴν αἰτίαν ἀποδίδωσι λέγων· ἀλλὰ μὴν ἐν τῷ ΒΓ οὐδὲν αἰσθάνετα ι . τῷ ἄρα ἐν τούτου τινὶ τοῦ ΑΒ χρόνου αἰσθάνεσθαι ἐν τῷ ΒΓ μορίῳ οὐκ αἰσθάνεται. αἰσθάνοιτο ἂν 〈οὖν〉 ἐν τῷ ΑΒ χρόνῳ οὕτως αἰσθανόμενος, ὅτι ἐν μορίῳ τοῦ χρόνου αἰσθάνεσθαι λέγεται τοῦ ὅλου, οὐχ ὡς ἐν μορίῳ τοῦ χρόνου μορίου τοῦ αἰσθητοῦ αἰσθανόμενος, ἀλλ' ὡς ἐν τῷ μορίῳ τοῦ ὅλου. δείξας δὲ τοῦτο, τὸ ἑπόμενον καὶ ἐπὶ τοῦ ΑΓ χρόνου, ὃς ἦν μόριον τοῦ χρόνου, ἐν ᾧ ἐδόκει αἰσθανόμενος τοῦ ὅλου ἐν τῷ ὅλῳ αὐτῷ αἰσθάνεσθαι (πάλιν γὰρ ἐπεὶ καὶ ἐν τούτῳ ἐστί τινα ἀναίσθητα μέρη, ἀφαιρεθέντων ἐκείνων 〈ἐν〉 τῷ καταλειπομένῳ μέρει αὐτοῦ ἔσται αἰσθανόμενος, ὥστε οὐκ ἐν τῷ ὅλῳ πρώτως) εἰπών, τὸ ἐπὶ πάντων τοῦτο ἔσεσθαι τῶν τε χρόνων καὶ τῶν ὁρωμένων ἐδήλωσεν εἰπών· αἰεὶ γὰρ ἐν τινὶ καὶ τινό ς , ὅλου δὲ οὐκ ἔστιν αἰσθάνεσθα ι . ὃ εἴη ἂν δεικτικὸν τοῦ μήτε χρόνον τινὰ ἔσεσθαι, ἐν ᾧ πρώτως αἰσθησόμεθά τινος, μήτε αἰσθητόν, οὗ πρώτου καὶ ὅλου αἰσθησόμεθα. μὴ ὄντος δὲ τοῦ πρώτως οὐδὲ τὸ κατ' ἄλλο ἂν εἴη· τὸ γὰρ κατ' ἄλλο ἀληθές, ὅτι ἔστι τι, ὃ πρῶτον καὶ καθ' αὑτὸ τοιοῦτόν ἐστιν. Ἢ διὰ τὸ [μὴ] ἔχειν ἐν αὑτῷ αἰσθητά τινα τὸν χρόνον, ἀληθὲς τὸ γίνεσθαι τὴν αἴσθησίν τινος ἐν αὐτῷ τῷ ἐν τούτου τινὶ αἰσθάνεσθαι. εἰ δὲ τοῦτο ἀληθές, ἔσται ἀφαιρεῖν τι ἀεὶ αὐτοῦ καὶ ζητεῖν πῶς ἐν πρώτῳ αὐτῷ αἰσθάνεται, οὐ τὰ ἀναίσθητα τοῦ χρόνου χωρίζοντας, ὅτι μηδὲ οἷόν τε, 〈ἀλλ'〉 ἄλλο μόριόν τι ἀπ' αὐτοῦ ἀφαιροῦντας, ἐπεὶ ἐφ' οὗ ἀληθὲς τὸ κατὰ μόριον εἶναί τι, ἀληθὲς ἐπὶ τούτου καὶ τὸ ἀφαιρεῖσθαί τι μόριον, καθ' ὃ τοιοῦτον τὸ ὅλον. *** δύναται τὸ ΓΒ ἀπὸ τοῦ ΑΒ χρόνου παντός, ἐν ᾧ τις ἔκειτο αἰσθάνεσθαι, τῷ ἐν μέρει τινὶ αἰσθάνεσθαι αὐτοῦ, ἀφαιρεῖν, οὕτω τὸ ἐν ᾧ οὐκ ᾐσθάνετο αὐτοῦ μέρει· οὐδὲ γὰρ ἔστι τοῦτο ἀποκρίνεσθαι καὶ χωρίζεσθαι.

in Sens.154 ἀλλ' ἐπεὶ ἐν τῷ ὅλῳ κεῖται αἰσθάνεσθαι τῷ ἐν τῷ τῶν τούτου τινί, μέρος αὐτοῦ λαβὼν τὸ ΓΒ ὁρᾷ εἰ ἐν τούτῳ πρώτῳ δύναται αἰσθάνεσθαι, εἶτα λέγει ὅτι μὴ οἷόν τε μηδὲ ἐν τῷ ΓΒ οὕτως αἰσθάνεσθαί τινος, ὡς ἐν πρώτῳ τούτῳ. εἰ γάρ εἰσι χρόνοι τινὲς ἀναίσθητοι, καὶ ἐν τῷ ΓΒ ἔσονται, ὥστε καὶ ἐν τούτῳ αἰσθήσονται οὕτως, ὡς ἐν τῷ τῶν τούτου τινὶ καὶ ἐν τῷ ΑΒ ἄρα ἐλέγετο τὸ αἰσθάνεσθαι. ὡς δὲ ἐπὶ τοῦ ΓΒ μορίου τοῦ ΑΒ χρόνου ἔχει, οὕτως ἔχει καὶ ἐπὶ τοῦ ΑΓ μορίου αὐτοῦ. οὐδὲ γὰρ ἐν ἐκείνῳ ὅλῳ οὐδὲ πρώτῳ αἰσθήσεται, ἀλλὰ τῷ ἐν μορίῳ αὐτοῦ, καὶ τοῦτο ἐφ' ἑκάστου τῶν λαμβανομένων μορίων. οὐδεὶς γὰρ εὑρεθήσεται χρόνος, ἐν ᾧ πρώτῳ τις αἰσθήσεται. ἀεὶ γὰρ αἱ εἰς ἐλάττω διαιρέσεις τοῦ χρόνου πρὸς τὸ μὴ λανθάνειν τὸ ἐν ᾧ πρώτῳ τὸ αἰσθανόμενον αἰσθήσεται καὶ *** τοῖς ἀναισθήτοις χρόνοις, εἴπερ ἄρα τινές εἰσι τοιοῦτοι, πρὸς ἐκεῖνο. ὅτι δὲ μὴ οἷόν τε εἶναί τινας ἀναισθήτους χρόνους δεικνύοιτο ἂν καὶ διὰ τοῦ μὴ εἶναι τὸν χρόνον τῶν ὑπομενόντων, ἀλλὰ τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχόντων. εἰ γὰρ οὐχ ὑπομένει ὁ πρῶτος τὸν δεύτερον ὥστε ἀθροισθῆναί τινα ἐξ αὐτῶν, ἀλλὰ κατὰ ἀναίσθητόν τι μόριον ἡ πάροδος αὐτοῦ, ὁ πᾶς ἂν χρόνος ἀναίσθητος εἴη. ἐπὶ μὲν γὰρ τοῦ μεγέθους δύναται ἀναισθήτῳ τινὶ διὰ σμικρότητα ὑπομένοντι προσγενόμενον ἀναίσθητον ὁμοίως ἄλλο αἰσθητὸν τὸ ὅλον ποιήσασθαι· ἐπὶ δὲ τοῦ χρόνου οὐκέτι οἷόν τε τοῦτο τῷ τοῦ δευτέρου παριόντος φθείρεσθαι τὸ πρὸ αὐτοῦ. Ἀφῃρήσθω τὸ Γ Β , ἐν ᾧ ᾐσθάνετ ο , τουτέστιν ἀπὸ τοῦ χρόνου τοῦ ἐν ᾧ ᾐσθάνετο. ὃ ἀφελὼν δείξει πάλιν ἐπὶ τοῦ ΓΒ τοῦ ἀφῃρημένου ἀπὸ τοῦ ΑΒ ὅτι καὶ ἐπὶ τούτου ἀληθὲς ἔσται τὸ ἐν τούτου τινὶ αἰσθάνεσθαι, ὁμοίως καὶ ἐπὶ τοῦ μεγέθους τὸ τούτου τινὸς αἰσθάνεσθαι. εἰπὼν γὰρ διὰ μέσου πῶς λέγεταί τι ὁρᾶν ὅλον, 〈ὅτι〉 ἀπὸ μέρους, καὶ ἐν χρόνῳ τινί, ὅτι ἐν μέρει, καὶ γνώριμα ταῦτα ποιήσας διὰ παραδειγμάτων ἐπήνεγκεν ἀλλὰ μὴν ἐν τῷ ΒΓ οὐδὲν αἰσθάνετα ι , τὴν αἰτίαν λέγων, δι' ἣν εἶπεν ἐπὶ τοῦ ΓΒ πρὸ ὀλίγου τὸ οὐκοῦν ἐν ταύτης τινὶ ἢ ταύτης τ ι .

in Sens.155 ὅτι γὰρ ἐν τῷ ΓΒ τῷ ἀφῃρημένῳ οὐδενὸς πρώτως αἰσθάνεται, διὰ τοῦτο καὶ ἐπὶ τούτου ῥηθήσεται τὸ ἐν τούτου τιν ί , ὥσπερ καὶ ἐπὶ τοῦ ΑΒ ὅλου ἐλέγετο. τῷ οὖν ἐν μέρει τινὶ τοῦ ΓΒ χρόνου τοῦ ΑΒ αἰσθάνεσθαι μεγέθους, τούτῳ ῥηθήσεται ἐν τῷ ΓΒ αἰσθάνεσθαι χρόνου τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅλου καὶ τὴν ὅλη ν , τουτέστι τὸ μέγεθος καὶ τὴν γραμμήν. δείξας δὲ τοῦτο, τὸν αὐτὸν λόγον φησὶ ῥηθήσεσθαι καὶ ἐπὶ τοῦ ΑΓ, ὃ ἦν τὸ ἕτερον μόριον τοῦ ΑΒ χρόνου παντός· οὐδὲ γὰρ ἐν τούτῳ πρώτῳ αἰσθήσεται τῆς ΑΒ, ἀλλὰ τῶν μορίων τινί. ἀεὶ γὰρ ὃ ἂν λάβωμεν μόριον ἢ τοῦ χρόνου ἢ τοῦ μεγέθους, ἐν τινὶ χρόνῳ ἐσόμεθα αἰσθανόμενοι καὶ τινὸς μεγέθους, ὅλως δὲ ἐν χρόνῳ τινὶ ἢ ὅλως μεγέθους τινὸς οὐδέποτε. τοῦτο γὰρ ἐπὶ πάντων τῶν ὁρωμένων ἐδήλωσεν εἰπών· ἀεὶ γὰρ ἐν τινὶ καὶ τινό ς , ὅλου δὲ οὐκ ἔστιν αἰσθάνεσθα ι . ὃ εἴη ἂν δεικτικὸν τοῦ μήτε χρόνον τινὰ ἔσεσθαι, 〈ἐν〉 ᾧ πρώτως αἰσθησόμεθά τινος, μήτε αἰσθητόν, ὅτου πρώτου καὶ ὅλου αἰσθησόμεθα. μὴ ὄντος δὲ τοῦ πρώτως, οὐδὲ τὸ κατὰ ἄλλο 〈ἂν εἴη· τὸ γὰρ κατ’ ἄλλο〉 ἀληθές, ὅτι ἔστιν αὐτοῦ ὃ πρῶτον καὶ καθ’ αὑτὸ τοιοῦτόν ἐστι. p. 448b12 Ἅπαντα μὲν οὖν αἰσθητά ἐστι ν , ἀλ λ ’ οὐ φαίνετα ι . Δείξας ὅτι μηδέν ἐστι τῇ αὑτοῦ φύσει ἀνεπαίσθητον μόριον τοῦ αἰσθητοῦ, ὃ καὶ ἐν τοῖς ἔμπροσθεν ἔδειξεν (ἐμνημόνευσε γὰρ ὅτι μηδὲν τῇ αὑτοῦ φύσει μόριον αἰσθητοῦ ἀνεπαίσθητόν ἐστι καὶ ἀπαθές· καὶ γὰρ μυριοστὸν μέρος τῆς κέγχρου αἰσθητόν ἐστι, καὶ ὁρᾷ αὐτὸ ἡ ὄψις, ὅτε τὴν κέγχρον ὁρᾷ, οὐ μὴν καθ’ αὑτὸ οὐδὲ ἡλίκον ἐστί), τοῦ αὐτοῦ τούτου καὶ νῦν ἡμᾶς ὑπομιμνῄσκει λέγων ἅπαντα μὲν τὰ μόρια τοῦ αἰσθητοῦ αἰσθητὰ εἶναι, οὐ μὴν φαίνεσθαι ἡλίκα ἐστὶν τὴν ἀρχὴν [ὁρᾶσθαι] αὐτὰ καθ’ αὑτά.

in Sens.156 ὅτι γὰρ οὐκ ἀνάγκη πάντα ὅσα ὁρᾶται εὐθὺς καὶ ἡλίκα ἐστὶν ὁρᾶσθαι παρατίθεται τόν τε ἥλιον καὶ τὸ τετράπηχυ μέγεθος, ἃ ὁρῶσα ἡ ὄψις οὐκέτι καὶ τὰ μεγέθη αὐτῶν ἡλίκα ἐστὶν ὁρᾷ, ἀλλ’ ἐνίοτε ἐκ πλείονος αὐτῇ διαστήματος ἀδιαίρετα φαίνεται τὰ ὁρώμενα· καίτοι οὐδὲν εἶδεν ἀδιαίρετον· τὰ δὲ χρώματα ἡ ὄψις ὁρᾷ ἐν σώμασιν ὄντα. τὴν δὲ αἰτίαν φησὶν ἐν τοῖς ἔμπροσθεν εἰρῆσθαι περὶ τούτου, οὐ περὶ τοῦ τὸν ἥλιον ὁρᾶσθαι μέν, μὴ ἡλίκος δέ ἐστιν ὁρᾶσθαι λέγων, οὐδὲ τοῦ τὰ ἀπὸ πλείονος διαστήματος ὁρώμενα ἐνίοτε ἀδιαίρετα φαίνεσθαι (τούτῳ γὰρ ἐχρήσατο ὡς ἐναργεῖ πρὸς δεῖξιν ὅτι οὐκ ἀνάγκη τὰ ὁρώμενα καὶ ἡλίκα ἐστὶν εὐθὺς ὁρᾶσθαι)· ἀλλά φησι τὴν αἰτίαν εἰρῆσθαι τοῦ τὰ μόρια τὰ ἐν τοῖς ὅλοις ὁρωμένων τῶν ὅλων ὁρᾶσθαι μέν, μὴ ἡλίκα δέ ἐστιν. ἔστι δ’ αὕτη ἣν ἐν τοῖς ἐπάνω εἴρηκεν, ὅτι μηδὲν αὐτῶν καθ’ αὑτὸ ὁρᾷ ἡ ὄψις ἐν τῷ ὅλῳ, ἀλλ’, ὡς ἔφην, ἔπεισι μὲν καὶ τούτων ἕκαστον ᾧ καὶ προσβάλλει [καίτοι ἡ] τὸ ὅλον ὁρῶσα, οὐ μὴν καὶ καθ’ αὑτὸ ἕκαστον τούτων ὁρᾷ οὐδὲ ἡλίκον ἐστίν, ὅτι μηδὲ ὁρατὸν τὸ τηλικοῦτόν ἐστι καθ’ αὑτό. ἢ ὑπομιμνῄσκει ἡμᾶς οὗ ἐν τοῖς ἐπάνω εἶπε περὶ τοῦ πάντα τὰ ὁρώμενα μετὰ μεγέθους ὁρᾶσθαι· εἶπε γὰρ ἀδύνατον λευκὸν μὲν ὁρᾶν, μὴ ποσὸν δέ· εἰ δὲ πᾶν τὸ ὁρώμενον ποσόν, οὐδὲν ἀδιαίρετον ἂν εἴη ὁρώμενον. συναποδείξας δὲ τῷ μὴ εἶναι χρόνον ἀναίσθητον τὸ μηδὲ μέρος τι τοῦ αἰσθητοῦ ἀναίσθητον εἶναι, ὃ ἦν αὐτῷ δεδειγμένον ἤδη, συγκεφαλαιοῦται τὸ δεδειγμένον λέγων· ὅτι οὐδείς ἐστι χρόνος ἀναίσθητο ς , ἐκ τούτων φανερό ν . Εἰπὼν δὲ καὶ δείξας ταῦτα, ἐπάνεισιν ἐπὶ τὸ προκείμενον καὶ τὰ αὐτῷ προηπορημένα, οὗ χάριν καὶ τούτων ἐμνημόνευσεν ἐν τῷ μεταξύ. ἦν δὲ τὸ ζητούμενον, εἰ οἷόν τε ἅμα πλειόνων αἰσθάνεσθαι ἢ τῇ αὐτῇ αἰσθήσει ἢ διαφόροις.

in Sens.157 ὃ ζητῶν ἐπιχειρήσας εἰς τὸ μὴ οἷόν τε εἶναι δι’ ἐνδόξων, νῦν ἐπὶ τὸ ὅπως ἔχει λέγειν μέτεισι καὶ πῶς οἷόν τε γίνεσθαι τὴν τῶν πλειόνων ἅμα αἴσθησιν. ἐναργὲς γὰρ εἶναι τοῦτο δοκεῖ. εἰπὼν δὲ εἰ ἅμα πλειόνων αἰσθάνεσθαι ἐνδέχεται ἢ ο ὔ , πῶς τὸ ἅμα λέγει ἐξηγούμενός φησι τὸ μὲν ἅμα λέγω ἐν ἑνὶ καὶ ἀτόμῳ χρόνῳ πρὸς ἄλληλ α , τὸ πρὸς ἄλληλα προσθείς, ἵνα μή τις αὐτὸν ὑπολάβῃ λέγειν ἄτομόν τινα χρόνον, ἀλλὰ τὸ οὕτως ἄτομον, ὡς πρὸς ἄλληλα τὰ ὧν ἡ αἴσθησις ἄτομον αὐτὸν καὶ εἶναι καὶ μὴ διαιρεῖσθαι αὐτὸν κατὰ τὰ ὧν αἰσθανόμεθα, ὡς ἐν μὲν τούτῳ τῷ μέρει αὐτοῦ τοῦδε ἡμᾶς αἰσθάνεσθαι, ἐν δὲ τῷδε τοῦδε, ἀλλ’ ἐν ἅπαντι τῶν πλειόνων ὁμοίως. p. 448b20 Πρῶτον μὲν οὖν ἆ ρ ’ ὧδε ἐνδέχετα ι , ἅμα μέ ν , ἑτέρῳ δὲ τῆς ψυχῆς αἰσθάνεσθα ι ; Ζητῶν πῶς οἷόν τε λέγειν ἅμα πλειόνων αἰσθάνεσθαι ἡμᾶς, ἐπεὶ δοκεῖ τὸ τοῦτο γίνεσθαι ἐναργὲς εἶναι, πρῶτον τίθησι τὸ εἰ ἐνδέχεται λέγειν οὕτως ἅμα πλειόνων ἡμᾶς αἰσθάνεσθαι, τῷ ἅμα μὲν καὶ ἐν τῷ αὐτῷ χρόνῳ πάντων, ἑτέρῳ δὲ καὶ ἑτέρῳ τῆς ψυχῆς, ὡς τῶν διαφερόντων

διαφερούσαις δυνάμεσιν αἰσθανομένων ἡμῶν κατὰ τὸ αὐτό. ἐξηγούμενος δὲ τὸ ἀτόμως πάλιν πῶς εἶπεν· καὶ οὕτως ἀτόμ ῳ , ὡς παντὶ ὄντι συνεχε ῖ . εἰπὼν γὰρ τὸ δὲ ἅμα λέγω ἐν ἑνὶ καὶ ἀτόμῳ χρόν ῳ , μνημονεύσας τοῦ ἅμα πάλιν διὰ τοῦ εἰπεῖν πρῶτον μὲν ἆ ρ ' ὧδε ἐνδέχετα ι , ἅμα μέ ν , ἑτέρῳ δὲ τῆς ψυχῆ ς , ἐπεὶ τὸ ἅμα ἔκειτο εἶναι ἴσον τῷ ἐν ἀτόμῳ χρόν ῳ , πῶς ἅμα καὶ πῶς ἐν ἀτόμῳ λέγει χρόνῳ προσέθηκεν· ὡς γὰρ παντὶ ἐν ᾧ αἰσθάνεται χρόνῳ τῶν ἑτέρων ταῖς διαφερούσαις δυνάμεσιν ἑνὶ καὶ συνεχεῖ λαμβανομένῳ, καὶ μὴ ἐν ἄλλῳ μὲν αὐτοῦ τῆς τοῦδέ τινος αἰσθήσεως γινομένης, ἐν ἄλλῳ δὲ τῆς τοῦδε. γράφεται καὶ οὐ τῷ ἀτόμ ῳ . κἂν ᾖ αὕτη ἡ γραφὴ , λέγων περὶ τούτου οὗ αἰσθανόμεθα ὅτι οὐχ οὕτως ἑνί τινι αἰσθανόμεθα ἅμα πλειόνω ν , ὡς ἀτόμων τῇ αὐτῶν φύσε ι , ἀλ λ ' ὡς ἑνὶ παντὶ ὁμοίως ἁπάντω ν .

in Sens.158 οὐ γὰρ ἑνὶ μέρει καὶ ἀτόμῳ τῆς ψυχῆς πάντων αἰσθανόμεθ α , ἀλ λ ' ὡς παντὶ τούτῳ ᾧ αἰσθανόμεθα ἑνὶ ὄντι καὶ συνεχεῖ αὐτῷ ἐκ διαφερόντων συγκειμένῳ μερῶ ν . Ὅτι δὲ μὴ οἷόν τε οὕτω πλειόνων ἅμα αἰσθάνεσθαι ἑξῆς δείκνυσι διὰ το ῦ , εἰ οὕτω γίνοιτο ἡ τῶν πλειόνων αἴσθησι ς , ὡς ἄλλῳ καὶ ἄλλῳ μορίῳ τῆς ψυχῆς τῶν πλειόνων γίνεσθαι τὴν ἀντίληψι ν , ὅταν πλειόνων ὁμοειδῶν ἅμα αἰσθανώμεθ α , πλείω μέρη ἔσεσθαι αἰσθητικὰ ὁμοειδῆ ἀλλήλοις· οἷον εἰ πλείω εἴη τὰ ὁρώμενα, πλείω 〈ἂν〉 μέρη εἴη τὰ ὁρατικὰ καὶ ταῦτα ὁμοειδῆ ἀλλήλοις· ὁμοειδῶν γὰρ ὄντων τῶν αἰσθητῶν ὁμοειδῆ ἂν καὶ τὰ μέρη τὰ οἷς αἰσθανόμεθα αὐτῶν εἴη. εἰ γὰρ εἴη πλείω ἅμα ὁρῶν τις, εἴη δὲ ἄλλου ἄλλῳ αἰσθανόμενος, πλείω μέρη ἔσται τῆς ὄψεως, τουτέστι πλείους αἰσθήσεις καὶ ὄψεις πλείους ὁμοειδεῖς ἀλλήλαις ἔσονται τῷ καὶ τὰ αἰσθητὰ ὁμογενῆ ἀλλήλοις εἶναι· ὁρατὰ γὰρ πάντα. τῶν γὰρ ἐν τῷ αὐτῷ γένει ἡ αὐτὴ κατ' εἶδος αἴσθησις. Ἀπορήσας δὲ καὶ δείξας διὰ τῶν τῇ αὐτῇ αἰσθήσει αἰσθητῶν τὸ λειπόμενον ἄτοπον, εἴ τις λέγοι πλειόνων ἡμᾶς αἰσθάνεσθαι, ἄλλῳ μορίῳ τῆς ψυχῆς καὶ ἄλλῃ δυνάμει ἄλλου, ἑξῆς προσιστάμενος πρὸς τὸ ἠπορημένον, τὸ πλείους ὄψεις ὁμοειδεῖς ἔσεσθαι, εἰ πλείω τις καὶ διαφέροντα ἅμα ὁρῴη, 〈λέγει〉 · εἰ δὲ ὅτι ὄμματα δύ ο , φαίη τι ς , οὐδὲν κωλύει οὕτω καὶ ἐπὶ τῆς ψυχῆ ς . διὰ γὰρ τῆς λέξεως ταύτης ἐστὶν ὃ λέγει τοιοῦτον· εἰ δέ τις, φησί, λέγοι, ὡς ἐπὶ τῆς ὄψεως διὰ πλειόνων αἰσθητηρίων ὁμοειδῶν ὁρῶμεν (διὰ γὰρ δύο ὀφθαλμῶν), οὕτω καὶ τὴν ψυχὴν πλείους δυνάμεις ὁμοειδεῖς ἔχειν μὴ κεκωλῦσθαι, αἷς ἅμα τῶν ὁμοειδῶν αἰσθάνεται, τοῦτο θεὶς ὡς δυνάμενον λέγεσθαι πρὸς τὸ ἠπορημένον, ἐλέγχει αὐτὸ δεικνὺς ὅτι οὐχ ὅμοιον τὸ παραβεβλημένον, λέγων ὅτι ἴσως ἐκ μὲν τούτων ἕν τι γίνετα ι , τῶν ὄψεων λέγων, καὶ μία ἡ ἐνέργεια ἡ ἀμφοτέρων (ἑνὸς γὰρ κατ' ἀριθμὸν ἡ δι' ἀμφοτέρων ἀντίληψις καὶ ἅμα· τὸ δὲ ἴσως προσέθηκεν, ὅτι μηδέν πω περὶ τούτου διώρισται), ἐκεῖ δ έ , εἰ μὲν ἓν τὸ ἐξ ἀμφοῖ ν , ἐκεῖνο τὸ αἰσθανόμενον ἔστα ι , εἰ δὲ χωρί ς , οὐχ ὁμοίως ἕξε ι .

in Sens.159 δείκνυσιν ὅτι μὴ ὅμοιον τό τε ἐπὶ τῶν ὀφθαλμῶν δύο ὄντων καὶ τὸ ἐπὶ τῆς ψυχῆς καὶ τῶν πλειόνων δυνάμεων. ἐπὶ μὲν γὰρ τῶν ὀφθαλμῶν, εἰ καὶ δύο οἱ ὀφθαλμοί, ἀλλ' ἕν τι τὸ γινόμενον· μία γὰρ αἴσθησις καὶ ἐνέργεια μία ἡ δι' ἀμφοτέρων τῶν ὀφθαλμῶν γινομένη· διὸ καὶ μιᾶς δυνάμεως. ἐπὶ δὲ τῶν τῆς ψυχῆς δυνάμεων, εἰ μὲν ἕν ἐστι τὸ διὰ πλειόνων δυνάμεων ἐνεργοῦν καὶ περὶ ἕν τι ἡ ἀμφοτέρων ἐνέργεια καὶ μία, ἐκεῖνο ἔσται τὸ αἰσθανόμενον τὸ ἐνεργοῦν δι' ἀμφοτέρων μίαν ἐνέργειαν (καὶ οὐδὲν ἄτοπον· ἑνὸς γὰρ γίνεται μία δύναμις αἰσθανομένη διὰ πλειόνων, ὡς καὶ ἐπὶ τῶν ὀφθαλμῶν)· εἰ δὲ μὴ τοῦτο λέγοιτο (ἦν γὰρ τὸ ζητούμενον, πῶς πλειόνων μία αἰσθάνεται), ἀλλὰ λέγοιτο ἑκάστη τῶν αἰσθήσεων αἰσθάνεσθαι ἰδίου τινός, τὸ παραβαλλόμενον οὐχ ὅμοιον ἔσται. τῶν μὲν γὰρ ὀφθαλμῶν πλειόνων ὄντων μία ἡ ἐνέργεια καὶ ἡ αἴσθησις, τῶν δὲ πλειόνων τῆς ψυχῆς δυνάμεων πλείους αἱ αἰσθήσεις· ἑκάστη γὰρ αὐτῶν ἰδίου τινὸς ἔσται. ἀσαφὴς δὲ ἡ λέξις γέγονε τῷ συνάψαι αὐτὸν τῷ ῥηθέντι ἂν ὑπ' ἐκείνων τὴν δεῖξιν τοῦ ὅτι μὴ ὁμοία ἡ παραβολή, ᾗ κέχρηνται πάντες. p. 448b29 Ἔτι αἰσθήσεις αἱ αὐταὶ πλείους ἑνὸς ἔσοντα ι , ὥσπερ εἴ τις ἐπιστήμας διαφόρους φαί η . Εἰπὼν διὰ μέσου καὶ δείξας ὅτι μὴ οἷόν τε οὕτω λέγειν πλειόνων ἅμα αἰσθάνεσθαι, ὡς διὰ πλειόνων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυνάμεων καὶ διὰ πλειόνων αἰσθητηρίων ἀντιλαμβανομένης 〈τῆς ψυχῆσ〉, ὡς ἐπὶ τῶν ὀφθαλμῶν ἔχει, περὶ τῆς ἀπορίας πάλιν λέγει καὶ δείκνυσιν ἄτοπον ἑπόμενον, ὃ ἤδη προεῖπεν. εἰ γὰρ εἴη κατὰ πλείους δυνάμεις ἅμα ἡ ψυχὴ τῶν πλειόνων αἰσθανομένη τῷ γένει τῶν αὐτῶν αἰσθητῶν, πλείους αἰσθήσεις ἕξομεν καὶ δυνάμεις ἀντιληπτικάς, οἷον ὁρατῶν, ὥσπερ εἴ τις τοῦ αὐτοῦ ἔλεγε πλείους ἐπιστήμας ἔχειν ἡμᾶς. τοῦ γὰρ αὐτοῦ μία ἐπιστήμη, οὕτω καὶ αἴσθησις. καὶ διὰ τί πλείους αἰσθήσεις ἕξομεν τῶν αὐτῶν ἐπήνεγκεν· οὔτε γὰρ ἡ ἐνέργεια ἄνευ τῆς κα τ ʼ αὐτὴν ἔσται δυνάμεω ς , οὔτε ἄνευ ταύτης αἴσθησις ἔστα ι .

in Sens.160 εἰ γὰρ ἅμα εἴημεν πλείω ὁρῶντες, δῆλον ὅτι καὶ ἐνεργοίημεν ἂν πλείους ἐνεργείας. ἀδύνατον γὰρ χωρὶς ἐνεργείας αἴσθησιν γίνεσθαι· ὃ εἶπε διὰ τοῦ οὔτε ἄνευ ταύτης αἴσθησις ἔστα ι . ἀλλὰ μὴν ἀδύνατον ἐνέργειαν γενέσθαι χωρὶς τῆς οἰκείας δυνάμεως. ὥστε, ὅτε πλείω ὁρῶμεν, πλείους ἐνεργείας ἅμα ἐνεργήσομεν· εἰ δὲ πλείους ἐνεργείας, καὶ πλείους δυνάμεις ἅμα ἕξομεν, ἀφ' ὧν αἱ διάφοροι καὶ διῃρημέναι ἐνέργειαι. πλείους ἄρα δυνάμεις ἕξομεν ὁρατικάς· ὁμοίως καὶ καθ' ἑκάστην αἴσθησιν· πλείους ἄρα τὰς τῶν αὐτῶν αἰσθήσεις ἕξομεν. Οὐχ ὡς τὸ αὐτὸ λέγων διὰ τοῦ ἔτι αἰσθήσεις αἱ αὐταὶ πλείους ἑνὸς ἔσονται τῷ πρώτῳ εἰρημένῳ τῷ ὅτι πρῶτον μὲν τὸ κατὰ τὴν μίαν αἴσθησι ν , οὕτως εἴρηκεν (εἰπὼν γὰρ ἢ πρῶτον μέ ν , ὡς προστιθεὶς ἐκείνῳ δεύτερον εἴρηκεν ἔτι αἰσθήσεις αἱ αὐταὶ πλείους ἑνὸς ἔσοντα ι) , ἀλλὰ μὴν διὰ τοῦ πρώτου ἔδειξεν ὅτι ἡ ψυχὴ πλείω μέρη καὶ πλείους δυνάμεις ἕξει εἴδει τὰς αὐτάς, διὰ δὲ τοῦ προστεθέντος δευτέρου, ὅτι ἐνέργειαι ἔνιαι πλείους ἔσονται. εἰ γὰρ ἅμα πλειόνων ὁρατῶν αἰσθησόμεθα, ἅμα τοῦ αὐτοῦ πλείους ἐνέργειαι ἔσονται. εἰ γὰρ πλείους δυνάμεις ἀντιληπτικαὶ τῶν ὁρατῶν καὶ διὰ τῆς οἰκείας ἐνεγρείας ἀντιλαμβάνονται τοῦ αἰσθητοῦ (χωρὶς γὰρ ἐνεργείας οὐ γίνεται αἴσθησις), ἅμα ἂν τοῦ ἑνὸς πλείους ἐνέργειαι γίνοιντο, δι' ὧν ἡ ἀντίληψις τοῦ ὁρατοῦ. ἀλλ' αἱ πλείους ἀνῄρουν ἀλλήλας. πρῶτον μὲν οὖν ἔλαβε τῇ δόξῃ ἑπόμενον ἄτοπον τὸ πλείω μέρη ἕξειν τὴν ψυχὴν καὶ πλείους δυνάμεις καὶ αἰσθήσεις τῷ εἴδει τὰς αὐτάς, οἷον ὁρατικὰς πλείους καὶ πλείους ἀκουστικάς· νῦν δὲ προσέθηκε καὶ τὴν δεῖξιν πῶς πλείους καὶ ὅτι τῶν αὐτῶν πλείους ἔσονται ἡμῖν αἰσθήσεις, καὶ ἅμα τῆς δόξης τὸ ἄτοπον τῇ παραθέσει τῶν ἐπιστημῶν ἔδειξεν. ἀδύνατον γὰρ τοῦ αὐτοῦ πλείους ἐπιστήμας εἶναι κατὰ τὸ αὐτό, ὡς ἅμα ἡμᾶς ἐνεργεῖν κατὰ τὸ αὐτὸ θεώρημα πλείους ἐνεργείας, *** ἀλλὰ ἄλλης μὲν τὸ τὸ ἰσοσκελὲς τρίγωνον δύο ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας, ἄλλης δὲ ὅτι τὸ σκαληνὸν καὶ τὸ ἰσόπλευρον.

in Sens.161 Τὸ δὲ εἰ δὲ τοῦτο ἐν ἑνὶ καὶ ἀτόμῳ αἰσθάνεται τοιοῦτόν ἐστιν· εἰ γὰρ τῶν διαφερόντων αἰσθητῶν ἡ ψυχὴ ἐν ἑνὶ καὶ ἀτόμῳ χρόνῳ πλειόνων ἅμα αἰσθάνεται διαφόροις μέρεσι τῆς ψυχῆς καὶ δυνάμεσι, δῆλον ὅτι καὶ τῶν ὁμοειδῶν ἅμα πλειόνων αἰσθάνοιτ' ἄν. μᾶλλον γὰρ τῶν ὁμοειδῶν ἅμα πλειόνων αἰσθάνεσθαι αὐτὴν εὔλογον, ὡς ἐν τοῖς ἔμπροσθεν ἐρρήθη περὶ τῶν ἀνομογενῶν. τιθεμένου δὲ τούτου ἄτοπον εἵπετο τὸ πλείους τὰς αὐτὰς δυνάμεις ἔχειν. γράφεται καὶ οὕτως εἰ δὲ τούτων ἐν ἑνὶ καὶ ἀτόμῳ αἰσθάνετα ι , καὶ ἔστι σαφέστερον αὕτη ἔχουσα ἡ γραφή· τούτων δ' ἂν λέγοι τῶν ἀνομογενῶν καὶ διαφόροις αἰσθήσεσιν αἰσθητῶν. πρότερον μὲν οὖν δεικνὺς ὅτι μὴ οἷόν τε τῶν ὁμογενῶν πλειόνων αἰσθάνεσθαι, ἀνῄρει καὶ τῶν ἀνομογενῶν ἀπὸ τοῦ μᾶλλον ἐπιχειρῶν, νῦν δὲ ἀπὸ τοῦ ἧττον πάλιν ἀντιστρέψας ἔδειξεν. εἰ γὰρ ὧν ἧττον ἅμα πλειόνων αἰσθάνεσθαι οἷόν τε, τούτων ἅμα αἰσθάνεται, ὃ ἦν τιθέμενον ὑπὸ τοῦ ἅμα δύνασθαι κατὰ πλείους αἰσθήσεις ἐνεργεῖν καὶ ἅμα πλειόνων δύνασθαι αἰσθάνεσθαι, καὶ ὧν μᾶλλον οἷόν τε, πλειόνων ἅμα αἰσθάνοιτ' ἄν· ᾧ ἔδειξεν ἑπόμενον τὸ πλείους ἡμᾶς αἰσθήσεις τε καὶ δυνάμεις ἕξειν τῶν αὐτῶν αἰσθητῶν, ὅ ἐστιν ἀδύνατον. ἀδύνατον 〈οὖν〉 ἂν εἴη καὶ τῶν ἀνομογενῶν πλειόνων ἅμα αἰσθάνεσθαι. Ἦν δὲ ἂν σαφεστέρα ἡ λέξις, εἰ οὕτως εἶχεν ʻεἰ γὰρ ἐκείνων ἐν ἑνὶ καὶ ἀτόμῳ αἰσθάνεται, δῆλον ὅτι καὶ τούτωνʻ ἢ οὕτως ʻεἰ δὲ *** τῷ ἑνὶ καὶ ἀτόμῳ αἰσθάνεταιʻ, τουτέστιν ʻεἰ γὰρ τοῦτο οὕτως ἔχει καὶ τὸ αἰσθητικὸν ἐν ἑνὶ καὶ ἀτόμῳ χρόνῳ τῶν τῷ γένει διαφερόντων αἰσθάνεται διαφόροις μέρεσι καὶ δυνάμεσινʻ (εἰπὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ διὰ μέσου περὶ τῶν ἀνομογενῶν αἰσθητῶν ἐπάνεισιν ἐπὶ τὸ προτεθέν), ʻδῆλον δὴ ὅτι, εἰ ἐκείνων, καὶ τῶν ὁμοειδῶν ἅμα αἰσθήσεται· ὡμολόγητο γὰρ ἂν μᾶλλον δύνασθαι τῶν ὁμοειδῶν ἅμα πλειόνων αἰσθάνεσθαι ἢ τῶν τῷ γένει διαφερόντωνʻ.

in Sens.162 ᾧ τὸ ἑπόμενον ἄτοπον οὐκ ἐπήνεγκεν· εἴη δ’ ἂν ὃ προεῖπεν, ὅτι πλείους αἰσθήσεις ἕξομεν εἴδει τὰς αὐτάς, πλείους ὄψεις, ὅταν ἅμα πλειόνων ὁρατῶν ἀντιλαμβανώμεθα, καὶ πλείους ἀκοὰς καὶ ἐφ’ ἑκάστης ὁμοίως. πάλιν γὰρ καὶ ἐπὶ τούτων συνδιαιρεθήσονται αἱ δυνάμεις ταῖς ἐνεργείαις καὶ ἴσαι τὸν ἀριθμὸν ἔσονται αὐταῖς. ἐδόκει δέ μοι ἐξετάζοντι ἡ γραφὴ ἡμαρτῆσθαι καὶ εἶναι τὸ ὀφεῖλον γεγράφθαι ʻεἰ γὰρ ἐκεῖνα ἐν ἑνὶ καὶ ἀτόμῳ αἰσθάνονται, δῆλον ὅτι καὶ τοῦτοʻ. δύναται δὲ τὸ ὀφεῖλον γεγράφθαι τοιοῦτον εἶναι ʻεἰ δέ τις τῶν ἐν ἑνὶ καὶ ἀτόμῳ μὴ αἰσθάνεται, δῆλον ὅτι καὶ τῶν ἄλλωνʻ. καὶ ἦν ἂν σαφῆ τε τὰ λεγόμενα καὶ ἀκόλουθα τοῖς προειρημένοις. p. 449a5 Εἰ δὲ δὴ ἄλλῳ μὲν γλυκέο ς , ἄλλῳ δὲ λευκοῦ αἰσθάνεται ἡ ψυχὴ μέρε ι , ἤτοι ἐκ τούτων ἕν τί ἐστιν ἢ οὐχ ἕ ν . Θεὶς ὅτι διαφόροις δυνάμεσι τῶν διαφερόντων κατὰ γένος αἰσθάνεται ἡ ψυχὴ καὶ πρὸς τούτῳ *** εἰ γὰρ ἄλλῳ μὲν μέρει *** ἄλλως, ἐπὶ τὸ λῦσαι τὰ ἠπορημένα μετελήλυθε, καὶ δείκνυσιν ὅτι μία τέ ἐστιν ἡ αἰσθητικὴ δύναμις ἡ πάντων τῶν αἰσθητῶν ἀντιλαμβανομένη, καὶ πῶς οἷόν τε μίαν οὖσαν ἅμα πλειόνων καὶ διαφερόντων αἰσθητῶν αἰσθάνεσθαι, ὑπομιμνῄσκων ἡμᾶς τῶν περὶ τούτων ἐν τοῖς Περὶ ψυχῆς εἰρημένων. ἐπεὶ οὖν ἄλλῳ μὲν μέρει τε καὶ ὀργάνῳ γλυκέος αἰσθάνεται ἡ ψυχή, ἄλλῳ δὲ λευκοῦ καὶ 〈ἄλλῳ〉 ἄλλου τῶν διαφερόντων αἰσθητῶν, καὶ δῆλον ὅτι καθ’ ἑκάστην τῶν διαφόρων δυνάμεων, ζητεῖ πότερον ἕν τί ἐστι τὸ ταύταις ταῖς δυνάμεσιν ὑποκείμενόν τε καὶ χρώμενον καὶ ὅλον τι ἦν ἐκ τῶν μερῶν τούτων, ἢ ἑκάστη δύναμις κατ’ ἰδίαν ἐστὶ καὶ οὐκ ἐπὶ ἕν τι τὴν ἀναφορὰν ἔχουσι.

in Sens.163 τὸ γὰρ ἤτοι ἐκ τούτων ἕν τί ἐστιν ἢ οὐχ ἕν τοῦτο δηλοῖ· ʻἢ ἕν τι τὸ ὑποκείμενόν ἐστι καὶ χρώμενον ταῖς διαφόροις κατὰ τὰς αἰσθήσεις δυνάμεσιν, ἢ οὐχ ἕν, ἀλλὰ πλείωʻ. οἷς ἐπιφέρει τὸ ἀλλὰ ἀνάγκη · ἓν γὰρ τὸ αἰσθητικὸν μέρο ς , λέγων ἀνάγκην εἶναι ἓν τὸ αἰσθανόμενον καὶ ταῖς πλείοσι χρώμενον δυνάμεσιν. οὗ τὴν αἰτίαν ἐπήνεγκεν εἰπών· τὸ γὰρ αἰσθητικὸν ἕν τι μέρος ἐστὶ τῆς ψυχῆσʻ, ἀλλ’ οὐ πολλά. καὶ δέδεικται αὐτῷ ἐν τοῖς Περὶ ψυχῆς ὅτι, εἰ μὴ ἓν εἴη τὸ αἰσθητικόν, ᾧ πάντων τῶν αἰσθητῶν αἰσθανόμεθα, ἀλλ’ ἦν ἄλλο ἄλλου τῶν αἰσθητῶν τὸ αἰσθανόμενον, οὐδ’ ἂν τὰς διαφορὰς τῶν αἰσθητῶν τὰς πρὸς ἄλληλα διαγινώσκειν ἐδυνάμεθα, ἀλλ’ οὕτως ἂν εἴχομεν περὶ τὰ αἰσθητά, ὡς ἂν εἰ ἄλλος μέν τις τοῦδε τοῦ αἰσθητοῦ ᾐσθάνετο, ἄλλος δέ τις τοῦδε. ὡς γὰρ οἱ διαφέροντες αἰσθανόμενοι οὐκ ἔχουσι τῶν ἀλλήλοις αἰσθητῶν συναίσθησιν, οὕτως οὐκ ἂν καὶ ἡμεῖς τῶν πλειόνων ᾐσθανόμεθα, εἰ διαφόροις τισὶν καὶ μὴ ἑνὶ αὐτῶν ᾐσθανόμεθα. οὗ γὰρ τὸ κρίνειν τὰς διαφορὰς τῶν αἰσθητῶν, τούτου καὶ τὸ αἰσθάνεσθαι αὐτῶν. ἑνὸς δὲ τὸ κρίνειν τὰς τῶν αἰσθητῶν διαφοράς, ἑνὸς ἄρα καὶ τὸ αἰσθάνεσθαι αὐτῶν. ἀνάγκη δὲ καὶ ἅμα αὐτῶν γίνεσθαι τὴν ἀντίληψιν τῇ αἰσθήσει, ὅτε αὐτῶν καὶ ὡς ἑτέρων αἰσθάνεται. Λαβὼν δὲ ὅτι ἑνός ἐστι τὸ αἰσθητικὸν μόριον τῆς ψυχῆς ζητεῖ τίνος οὖν ἐκεῖνο ἑνό ς ; οὐδὲν γὰρ ἐκ τούτων ἕ ν . εἰπὼν ἓν εἶναι τὸ αἰσθητικὸν ἠπόρησε, τίνος ἔσται ἑνὸς ἐκεῖνο αἰσθητικόν τε καὶ ἀντιληπτικόν. ἐκ γὰρ τούτων ὧν αἰσθανόμεθα τοῖς διαφόροις μέρεσι τῆς ψυχῆς, οἷα ἦν τὸ γλυκὺ καὶ τὸ εὐῶδες καὶ τῶν ἄλλων ἕκαστον τῶν ἀνομογενῶν αἰσθητῶν, οὐδὲν γίνεται ἕν· ἄμικτα γὰρ ταῦτα ἀλλήλοις. *** ἔχειν τὸ ἓν τάς τε δυνάμεις τὰς αἰσθανομένας καὶ τὰ αἰσθητὰ ὧν αἰσθάνεται, εἰ αἱ δυνάμεις ἀπὸ μιᾶς πλείους, καὶ τὰ αἰσθητὰ εἶναι ἕν τι καὶ ὑπὸ μίαν φύσιν, ὡς ἦν τὰ ὁρώμενα ὑπὸ μίαν τινὰ φύσιν, ὁμοίως καὶ τὰ ἀκουστὰ καὶ τὰ ἄλλα.

in Sens.164 ὃ ἀπορήσας ἐπιφέρει ἀνάγκη ἄρα ἕν τι εἶναι τῆς ψυχῆ ς , ᾧ πάντα αἰσθάνετα ι , λέγων διὰ τούτου ὅτι ἀνάγκη ἕν τι εἶναι μέρος ᾧ πάντων τῶν αἰσθητῶν αἰσθάνεται, ἄλλο δὲ γένος αἰσθητὸν δ ι ’ ἄλλου ὀργάνου. Ἑξῆς δὲ λέγει πως ἄλλως, τίνος τὸ αἰσθητικὸν τοῦτο ἑνός ἐστιν ὑποκειμένου καὶ τίνος σώματος αἰσθητικὴ δύναμίς ἐστι. διαφέροντα γὰρ τὰ αἰσθητήρια δι’ ὧν

καὶ ἡ ἀντίληψις, καὶ οὐδὲν ἐξ αὐτῶν γίνεται. εἰπὼν δὲ τοῦτο, τὸ μὲν ἑνὸς τίνος οὐ λέγει, λέγει δὲ περὶ τῆς δυνάμεως ὅτι ἔστιν ἕν τι μόριον τῆς ψυχῆς ᾧ αἰσθανόμεθα πάντων, ἀδιαίρετον αὐτὸ ὄν, καθάπε ρ , φησίν, εἴρηται πρότερο ν , ἤτοι ἀναπέμπων ἡμᾶς εἰς τὰ Περὶ ψυχῆς (ἐν ἐκείνοις γὰρ ἔδειξεν ὅτι ἕν τί ἐστιν, ὃ πάντων τῶν αἰσθητῶν ἀντιλαμβάνεται καὶ διὰ τοῦτο καὶ τὰς διαφορὰς αὐτῶν τὰς πρὸς ἄλληλα κρίνει, ἔδειξε δὲ καὶ ὁποῖόν τί ἐστι καὶ ὅτι οὕτως τὸ ἓν ἔχει, ὡς ὁ ὅρος καὶ τὸ σημεῖον καὶ ὡς τὸ πέρας τῶν πλειόνων γραμμῶν· καὶ γὰρ τοῦτο καὶ ἕν ἐστι καὶ οὐχ ἕν, τῷ μὲν ἀδιαίρετον εἶναι [ἐν] ᾧ αἰσθανόμεθα ἕν, καθόσον δὲ πλείω, κατὰ τοσοῦτον τῶν διαφερόντων ἅμα· ἅμα γὰρ τῶν πλειόνων ἐστὶ πέρας)· ἢ δὴ ἐπὶ ταῦτα ἡμᾶς ἀναπέμπει, ἢ ἐπὶ τὰ προειρημένα, ὅτι δεῖ ἓν τὸ αἰσθανόμενον εἶναι ἐν ἡμῖν. εἰ γὰρ ἄλλῳ ἄλλου αἴσθησις εἴη κειμένη γίνεσθαι, εἵπετό τινα ἄτοπα. ἓν μὲν οὖν δεῖν κατ’ ἀριθμὸν εἶναι τὸ αἰσθανόμενον διὰ ταῦτα λαμβάνει (δι’ ἄλλου μέντοι μορίου σώματος καὶ ὀργάνου ἄλλου τῶν διαφερόντων αἰσθάνεται), χρώμενος τοῖς δεδειγμένοις αὐτῷ ἐν τοῖς Περὶ ψυχῆς, λέγων ἆ ρ ’ οὖν ᾗ μὲν ἀδιαίρετόν ἐστι κα τ ’ ἐνέργεια ν , ἕν ἐστι τὸ αἰσθητικὸν γλυκέος καὶ λευκο ῦ ; διὰ γὰρ τούτου δείκνυσι πῶς ἓν ὂν πλειόνων τε καὶ διαφερόντων ἅμα αἰσθήσεται.

in Sens.165 καθόσον μὲν γὰρ αὐτὸ καθ’ αὑτὸ λαμβανόμενόν τε καὶ νοούμενον ἀδιαίρετον πέρας τι ὂν πάντων τῶν αἰσθητηρίων, ἐνεργείᾳ τε καὶ τῇ αὑτοῦ φύσει ἀδιαίρετον ἕν τι ἔσται, καὶ τοῦτο πάντων αἰσθητῶν ἀντιληπτικόν τε καὶ αἰσθητικόν· ὅταν δὲ διαιρετὸν γένηται κα τ ’ ἐνέργεια ν , τουτέστιν ὅταν δὲ ὑπὸ τῶν κατὰ τὸ αἰσθητήριον ἐνεργειῶν διαιρεθῇ, πλείω ἔσται. οὕτω δὲ καθὸ μὲν ἕν τί ἐστι κατὰ τὸ ὑποκείμενον, ταὐτὸν ἔσται τὸ πάντων τῶν αἰσθητῶν αἰσθανόμενον καὶ κρῖνον αὐτά, καθὸ δὲ ὑπὸ τῶν κατὰ τὰ αἰσθητήρια ἐνεργειῶν διαιρεῖται, πολλά πως γινόμενον πλειόνων καὶ διαφερόντων ἅμα αἰσθήσεται. εἴρηκε δὲ περὶ τῆς δόξης ταύτης ἐν τοῖς Περὶ ψυχῆς. λαμβάνεται δὲ ὡς διαιρετὸν τῷ πέρας πλειόνων λαμβάνεσθαι. πάντων γὰρ τῶν αἰσθητηρίων ὁμοίως ὂν πέρας, ὅταν κατὰ πλείω γίνηται ἡ ἐνέργεια αἰσθητήρια, ὡς διῃρημένον καὶ ὡς πλείω λαμβάνεται· καθόσον δὲ ἅμα πλειόνων γίνεται πέρας τὸ αὐτὸ ἐν ταῖς κατὰ πλείω αἰσθητήρια ἐνεργείαις, κατὰ τοσοῦτον ἂν καὶ ἓν τῶν πλειόνων τε καὶ ἀνομογενῶν ἅμα αἰσθάνοιτο. τὸ αὐτὸ γάρ ἐστιν ἕν τε καὶ πολλά, ὡς τὸ ἐν τῷ κύκλῳ κέντρον· καὶ τοῦτο δὲ ἓν ὂν κατὰ τὸ ὑποκείμενον πολλά πως γίνεται, ὅταν ὡς πέρας λαμβάνηται τῶν ἀπὸ τῆς περιφερείας ἐπὶ τὸ κέντρον ἀγομένων. Χρησάμενος δὲ πρώτῃ λύσει τῆς ἀπορίας τῇ προειρημένῃ, ἣν οὕτως ἔχουσαν ἔδειξεν ἐν τοῖς Περὶ ψυχῆς, ἐφεξῆς χρῆται καὶ ἑτέρᾳ, ἣν καὶ αὐτὴν ἔθηκεν ἐν τοῖς Περὶ ψυχῆς. λέγει γάρ· ἢ ὡς περὶ τῶν πραγμάτων αὐτῶν ἐνδέχετα ι , οὕτω καὶ ἐπὶ τῆς ψυχῆ ς . ἔστι δὲ ὃ λέγει· ὡς ἐπὶ τῶν σωμάτων τε καὶ τῶν ὑποκειμένων ταῖς αἰσθήσεσιν ἐνδέχεται τὸ αὐτό τι ὂν κατ’ ἀριθμὸν πλείω πάθη ἔχειν ἐν αὑτῷ (τὸ γὰρ μῆλον ἓν κατ’ ἀριθμὸν ὂν ἅμα μὲν γλυκύ, ἅμα δὲ ξανθὸν ἢ λευκόν, ἅμα δὲ εὐῶδές ἐστιν καί ἐστιν ἀλλήλων διαφέροντα τὰ πάθη καὶ διαφόροις αἰσθήσεσιν αἰσθητά), οὕτω δύναται καὶ ἐπὶ τῆς ψυχῆς ἔχειν, ὡς μίαν οὖσαν τὴν αἰσθητικὴν πλειόνων καὶ διαφόρων ἅμα ἀντιληπτικήν τε καὶ κριτικὴν εἶναι τῷ πλείους δυνάμεις ἔχειν.

in Sens.166 Δεικνὺς δὲ ὅτι ἕν τι τὸ ὑποκείμενον διαφέροντα καὶ πλείω πάθη ἅμα ἔχον, φησί· τὸ γὰρ αὐτὸ καὶ ἓν ἀριθμῷ λευκὸν καὶ γλυκύ ἐστι καὶ ἄλλα πολλά · εἰ γὰρ μὴ χωριστὰ τὰ πάθη ἀλλήλω ν , ἀλλὰ τὸ εἶναι ἕτερον ἑκάστ ῳ , λέγων διὰ τούτων καὶ δεικνὺς ὅτι ταῦτα τὰ περὶ τὸ ἓν κατ’ ἀριθμὸν πάθη οὐκ, εἰ μὴ τοιαῦτά ἐστιν, ὥστε ἕκαστον αὐτῶν κατ’ ἰδίαν ἢ εἶναι ἢ δύνασθαι λαμβάνεσθαι, ἤδη διὰ τοῦτο ταὐτά ἐστιν ἀλλήλοις· καὶ γὰρ εἰ μὴ χωρίς, ἀλλὰ τὸ εἶναι ἑκάστου αὐτῶν καὶ ὁ λόγος διάφορος. ὧν δὲ τὸ εἶναι ἕτερον, ταῦτα ἕτερα ἀλλήλων· οὐ γὰρ μόνον τὰ ἕτερα τῷ κεχωρίσθαι κρίνεται, ἀλλὰ καὶ τῷ διάφορον τὸ τί ἦν εἶναι ἔχειν. οὕτω δὲ καὶ τὰ πάθη ἀλλήλων τε καὶ 〈τοῦ〉 ὑποκειμένου ἕτερα. *** ὁμοίως δή φησι δεῖν λέγειν καὶ ἐπὶ τῆς ψυχῆς τῆς αἰσθητικῆς, τὸ μὲν αὐτὸ καὶ ἓν αὐτὴν οὖσαν τῷ ἀριθμῷ κατὰ τὸ ὑποκείμενον τῷ καὶ ἑνὸς

εἶναι ἐντελέχειαν πάντων τῶν αἰσθητῶν ἀντιληπτικὴν εἶναι, κατὰ τὸν λόγον μέντοι καὶ τὴν δύναμιν καὶ τὸ τί ἦν εἶναι διαφέρειν, κατὰ τὴν τῶν αἰσθητῶν διαφορὰν διαφόρους δυνάμεις ἔχουσαν, καὶ τὰς μὲν τῷ γένει διαφόρους, τὰς δὲ τῷ εἴδει, ὡς ἔχει τὰ αἰσθητὰ πρὸς ἄλληλα· ἡ μὲν γὰρ χρωμάτων διαφορὰ τῷ εἴδει ἐστὶν ἑτέρα, ἡ δὲ χρωμάτων καὶ ψόφων τῷ γένει. οὕτως δ' ἂν εἴη ἡ ψυχὴ ἕν, ἡ μὲν κατὰ τὸ ὑποκείμενον πάντων αἰσθανομένη καὶ πολλάκις γε καὶ πλειόνων ἅμα τε δεχομένη, τουτέστι κρίνουσα, κατὰ δὲ τὸν λόγον καὶ τὸ τί ἦν εἶναι οὐ τῷ αὐτῷ · κατ' ἄλλον γὰρ λόγον καὶ κατ' ἄλλην δύναμιν χρώματος, καὶ κατ' ἄλλην ψόφου ἢ χυμοῦ ἀντιλήψεται· ἄλλο γὰρ κατὰ τὸν λόγον καὶ τὴν δύναμιν τῶν διαφερόντων ἀντιληπτικόν.

in Sens.167 οὐ τοῦτο δ' ἂν λέγοι ὅτι τὸ αὐτὸ κατὰ τὴν πρὸς τὰ διαφέροντα αἰσθητὰ σχέσιν νῦν μὲν ἀκουστικόν, νῦν δὲ ὁρατικὸν γίνεται, ὡς οἱ ἀπὸ τῆς Στοᾶς λέγουσι πῶς ἔχον τὸ ἡγεμονικὸν ποτὲ μὲν τόδε ποτὲ δὲ τόδε γίνεσθαι· εἰ γὰρ οὕτως οὐκέτ' 〈ἂν〉 ἅμα δύναιτο πλειόνων αἰσθάνεσθαι. ἀλλ' ἔστιν ὃ λέγει ὅτι ἓν ὂν κατὰ τὸ ὑποκείμενον πλείους δυνάμεις καὶ διαφόρους ἀλλήλων ἔχει, καθ' ἃς ἅμα οἷόν τέ ἐστιν ἐνεργεῖν. Ἀλλὰ καὶ εἰ μάλιστα οἷόν τε τὸ αἰσθητικὸν ἓν ὂν τῷ ἀριθμῷ ἅμα πλείω εἶναι κατὰ τὸν λόγον καὶ τὰς δυνάμεις, ἀλλὰ πῶς γε ἅμα τῶν ἐναντίων ἀντιλήψεται; ὡς γὰρ τὰ ὑποκείμενα πλειόνων μὲν παθῶν ἅμα ἐστὶ δεκτικά, οὐ μὴν διὰ τοῦτο καὶ τῶν ἐναντίων (οὐ γὰρ τὸ μῆλον, ἐπεὶ γλυκύ τε ἅμα καὶ λευκὸν εἶναι δύναται, ἤδη καὶ λευκὸν ἅμα καὶ μέλαν ἢ γλυκὺ καὶ πικρόν), οὕτως ἕξει καὶ ἐπὶ τῆς αἰσθήσεως. ὥστε οὐδ' ἐκεῖνο ἀληθὲς τὸ μᾶλλον δύνασθαι τῶν ὁμογενῶν τὴν αἴσθησιν γίνεσθαι ἢ τῶν ἀνομογενῶν· ἧττον γὰρ τῶν ἐναντίων τι ἅμα δεκτικόν ἐστιν ἢ τῶν μηδὲν ἐχόντων κοινόν. ἀλλὰ εἰ μὴ ἅμα τῶν ἐναντίων αἰσθησόμεθα, οὐδ' ὅτι ἐναντία ἐστὶ κρινοῦμεν, εἴγε ὧν μὴ ἅμα τι αἰσθάνεται, τούτων οὐδὲ τῆς διαφορᾶς τῆς πρὸς ἄλληλα αἰσθάνεσθαι δύναται· μνήμης γὰρ ἐκεῖνο, οὐκ αἰσθήσεως, ἐλέγομεν ἐν τοῖς Περὶ ψυχῆς. ἢ ἡ αἴσθησις, εἰ καὶ δοκεῖ διὰ πάθους τινὸς γίνεσθαι, ἀλλ' αὐτή γε κρίσις ἐστίν (ἄλλο δὲ τὸ ἐν πάθει ἐναντίον καὶ ἄλλο τὸ ἐν κρίσει. ἐν πάθει μὲν γὰρ τὸ λευκὸν τῷ μέλανι, ἐν κρίσει δὲ οὐχ ἡ κρίσις ἡ περὶ τοῦ λευκοῦ ὅτι λευκὸν οὐδ' ἡ τοῦ μέλανος ὅτι μέλαν ἐναντίαι· αὗται μὲν γὰρ ἅμα ἀληθεῖς· ἀδύνατον δὲ τὰς ἐναντίας κρίσεις ἅμα ἀληθεῖς εἶναι. ἀλλ' ἔστι τῇ περὶ τοῦ λευκοῦ κρίσει ὅτι λευκὸν ἐναντίον ἡ περὶ τοῦ λευκοῦ ὅτι μέλαν. διὸ αὗται μὲν οὐδέποτε συνυπάρχουσιν ἐν τῇ κατὰ τὴν αἴσθησιν κρίσει, ἐκεῖναι δέ· οὐ γάρ εἰσιν ἐναντίαι), πάσχοντος μέντοι τοῦ σώματος ἐν ᾧ ἥδε ψυχή, ὃ ἔθος ἐστὶ λέγειν ἔσχατον αἰσθητήριον, οὐ κατὰ τὸ αὐτὸ μόριον ὑπ' ἀμφοῖν, ἀλλὰ κατὰ ἄλλο ὑπ' ἄλλου γίνεται, ὡς γὰρ ὁρῶμεν καὶ ἐπὶ τῶν ὀφθαλμῶν καὶ ἐπὶ τῶν κατόπτρων ἅμα ἐμφαινόμενα τὰ ἐναντία.

in Sens.168 διαφέροι δ' ἂν τῆς πρώτης λύσεως ἡ δευτέρα, ᾗ ἐπ' ἐκείνης μὲν ἐλαμβάνετο ἡ αἰσθητικὴ ψυχὴ μία οὐ τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ τῇ δυνάμει, ἐν δὲ ταύτῃ τῷ μὲν ἀριθμῷ μία, οὐκέτι δὲ τῷ λόγῳ, ἀλλ' ὡς ἔχει τὰ ὑποκείμενα πράγματα, οὕτω καὶ αὐτή· ἦν δὲ ἐκεῖνα ἐν ἑνί τινι κατ' ἀριθμὸν ὑποκειμένῳ πλείω τινὰ τῷ λόγῳ καὶ διαφέροντα. Δείξας δὲ πῶς οἷόν τε ἅμα πλειόνων αἰσθητῶν αἰσθάνεσθαι, δείκνυσιν ἑξῆς ὅτι μηδὲν αἰσθητὸν ἀμερές ἐστιν, ἀλλὰ πᾶν αἰσθητὸν μέγεθός ἐστι καὶ διαιρετόν, ᾧ φθάσας ὡς ἀληθεῖ τε καὶ ὁμολογουμένῳ κέχρηται, ὅτε ἔλεγε περὶ τῆς τῶν αἰσθητῶν παθῶν διαιρέσεως καὶ περὶ τοῦ μεγέθους τοῦ ἡλίου. λέγει γάρ· ὅτι τὸ αἰσθητόν ἐστι πᾶν μέγεθος καὶ οὐκ ἔστιν ἀδιαίρετον αἰσθητό ν , δῆλο ν . ἔστι δὲ ἡ δεῖξις ᾗ χρῆται τοιαύτη· λαμβάνει ἐναργὲς ὂν καὶ γνώριμον τὸ μηδὲν τῶν διά τινος μέσου αἰσθητῶν ἀπὸ παντὸς διαστήματος αἰσθητὸν εἶναι, ἀλλ' εἶναί τι διάστημα ἀφ' οὗ καὶ τὸ ὁρώμενον ὁρᾶται καὶ τὸ ἀκουόμενον ἀκούεται καὶ τὸ ὀσφραντὸν τὴν ὄσφρησιν κινεῖ. αὗται γὰρ αἱ αἰσθήσεις διά τινος μεταξὺ γίνονται· ἡ γὰρ ἁφὴ καὶ ἡ γεῦσις οὐ διὰ μεταξύ τινος ἔξω ὄντος οὐδὲ ἀπὸ διαστήματός τινος αἰσθάνονται τῶν οἰκείων αἰσθητῶν, ἀλλ' αὐτῶν ἁπτομένων. τὸ μὲν οὖν ὅθεν οὐκ ἂν αἰσθανοίμεθα τοῦ αἰσθητοῦ διάστημα πολύ τε καὶ σχεδὸν ἄπειρόν ἐστιν· ἀφ' οὗ

γὰρ ἀρξόμεθα μὴ αἰσθάνεσθαι αὔξοντες τοῦτο τὸ διάστημα καὶ ἀεὶ ἀπωτέρω γινόμενοι τοῦ αἰσθητοῦ ἔτι μᾶλλον αὐτοῦ οὐκ αἰσθανόμεθα. ἄπειρον γὰρ εἶπε τὸ πολὺ καὶ μὴ ὡρισμένον· οὐ γὰρ ἔστι λαβεῖν τὸ μέγιστον διάστημα ἀφ’ οὗ οὐκ αἰσθανόμεθα. τὸ δ’ ἀφ’ οὗ αἰσθάνεσθαι δυνάμεθα διάστημά ἐστιν ὡρισμένον. ἐπεὶ τοίνυν ἐναργὲς καὶ ὁμολογούμενόν ἐστι τὸ εἶναί τι διάστημα τὸ ἀφ’ οὗ αἰσθανόμεθα καὶ τὸ ἀφ’ οὗ οὐκ αἰσθανόμεθα, δῆλον ὡς εἴη ἄν τι καὶ ἔσχατον τοῦ ἀποστήματος ἀφ’ οὗ ὁρᾶται τὸ ὁρώμενον (ποιεῖται γὰρ τὸν λόγον ἐπὶ τῶν ὁρατῶν· τὸ δὲ ἐπὶ τούτων δειχθὲν καὶ ἐπὶ τῶν ἄλλων αἰσθητῶν, ὧν διὰ μέσου τινὸς ἡ ἀντίληψις, ἁρμόζοι ἄν), ἀλλὰ μὴν καὶ πρῶτον ὅθεν λοιπὸν ἀρξάμενοι οὐχ ὁρῶμεν τὸ ὁρατόν· εἰ γὰρ μηδὲν εἴη πρῶτον ἀφ’ οὗ οὐχ ὁρᾶται, διὰ παντὸς ἂν εἴη τὸ ὁρώμενον.

in Sens.169 ἀλλὰ μὴν ἐναργὲς καὶ τὸ ὁρᾶσθαι ἀπό τινος καὶ τὸ μὴ ὁρᾶσθαι τὸ ὁρώμενον καὶ τοῦ πρώτου ἀφ’ οὗ ὁρᾶται πάλιν ἀπ’ ἄλλου. ἔστιν ἄρα τι τοῦ μὲν ἀφ’ οὗ οὐχ ὁρᾶται διαστήματος τὸ ὁρώμενον πρῶτον, τοῦ δὲ ἀφ’ οὗ ὁρᾶται ἔσχατον. τοῦτο δὴ τὸ μεταξὺ τοῦ ἐσχάτου ἀφ’ οὗ ὁρᾶται τὸ ὁρώμενον καὶ τοῦ πρώτου ἀφ’ οὗ οὐχ ὁρᾶται, ἀνάγκη ἀδιαίρετον εἶνα ι . ὃ αὐτὸς μὲν ἔλαβεν ὡς ἐναργές, ὅτι ἐπὶ τῶν οὕτως ἐχόντων τὸ αὐτὸ τοῦ μὲν πέρας γίνεται καὶ ἔσχατον, τοῦ δὲ ἀρχή τε καὶ πρῶτον· δεικνύοιτο δ’ ἂν οὕτως. εἰ γὰρ εἴη διαιρετόν, οὐκ ἦν τὸ ληφθὲν ἔσχατόν τε καὶ πρῶτον ὑγιῶς εἰλημμένον. ἡ γὰρ τοῦ μεταξὺ τούτου διαίρεσίς τε καὶ προσθήκη τῶν μερῶν αὐτοῦ ἑκατέρῳ τῷ τε ὡς πρώτῳ καὶ τῷ ὡς ἐσχάτῳ ληφθέντι δείκνυσιν ὅτι μηδέτερον αὐτῶν ὑγιῶς ἐλήφθη ἢ πρῶτον ἢ ἔσχατον. ἂν γὰρ διελόντες τὸ μεταξὺ καὶ προσθέντες ἑκατέρῳ ἔχωμεν τὸ μὲν ὁμοίως ἔτι μένον τοιοῦτον, ὡς τὸ ἐξ αὐτοῦ 〈ὁρώμενον ὁρατὸν εἶναι, τὸ δὲ τοιοῦτον, ὡς τὸ ἐξ αὐτοῦ〉 μὴ ὁρώμενον ἀόρατον εἶναι, οὐκ ἦν οὔτε ἔσχατον τὸ ἀφ’ οὗ ὁρῶμεν τὸ πρὸ τῆς προσθήκης εἰλημμένον οὔτε πρῶτον τὸ ἀφ’ οὗ οὐχ ὁρῶμεν. ἔσχατον μὲν γάρ ἐστιν ὁρατὸν οὗ ἀπὸ μείζονος διαστήματος οὐχ οἷόν τε ὄψιν τε καὶ ἀντίληψιν γενέσθαι. πρῶτον δὲ ἀόρατον οὗ ἀπὸ ἐλάττονος διαστήματος οὐχ οἷόν τέ ἐστιν ἀόρατον εἶναι τὸ ὁρώμενον. τούτων δὲ οὕτως ἐχόντων, εἰ διαιρετὸν εἴη τὸ μεταξὺ τοῦ τε ἀφ’ οὗ πρώτου τι οὐχ ὁρᾶται καὶ τοῦ γε ἐσχάτου ἀφ’ οὗ ὁρᾶται, τῷ μὲν προστιθέμενον τὸ ἐκ τῆς διαιρέσεως ἐπέκεινα μέρος τῷ ὁρατῷ ἔτι ὁρατὸν αὐτὸ τηρήσει καὶ ἀναιρήσει τὸ εἶναι τὸ εἰρημένον διάστημα ἀφ’ οὗ ἐσχάτου ὁρατὸν ἦν τὸ ὁρώμενον· καὶ γὰρ ἀπὸ μείζονος διαστήματος ὁρώμενον ἔσται· τῷ δὲ πάλιν τῷ ἀοράτῳ προστιθέμενον τὸ ἐπὶ τάδε μόριον αὐτοῦ ἔτι αὐτὸ ἀόρατον τηρήσει καὶ πάλιν ἀναιρήσει 〈τὸ〉 τὸ εἰρημένον διάστημα πρῶτον ἀόρατον εἶναι· καὶ γὰρ ἀπό τινος πρὸ αὐτοῦ ὄντος οὐκ ὄψεται.

in Sens.170 ὁμοίως κἂν τῷ ἑτέρῳ αὐτῶν προσγενόμενον ὅλον τηρῇ αὐτὸ ὅμοιον, οὐκ ἦν τὸ πρὸ τῆς προσθήκης ὑγιῶς εἰλημμένον ἢ ἔσχατον εἶναι τοῦ ἀφ’ οὗ ὁρῶμεν ἢ πρῶτον τοῦ ἀφ’ οὗ οὐχ ὁρῶμεν. τῷ μὲν γὰρ ὁρατῷ προστιθέμενον μεῖζον τὸ διάστημα ποιήσει τοῦ εἰλημμένου ἐσχάτου ὁρατοῦ, τῷ δὲ ἀοράτῳ πάλιν ἔλαττον ποιήσει τοῦ εἰλημμένου πρώτου ἀοράτου. ἀδιαίρετον ἄρα ἀνάγκη εἶναι τὸ μεταξὺ τοῦ τε ἐσχάτου ἀφ’ οὗ ὁρῶμεν καὶ τοῦ πρώτου ἀφ’ οὗ οὐχ ὁρῶμεν. Μετὰ ταῦτα τῇ διὰ ἀδυνάτου δείξει χρώμενος δείκνυσιν ὅτι μηδέν ἐστιν ἀδιαίρετον αἰσθητόν, προσχρώμενος τῷ δεδειγμένῳ. εἰ γὰρ δυνατόν, ἔστω τι τοιοῦτον. τοῦτο δὴ ἂν τεθῇ ἐν τῷ ἀμερεῖ τῷ μεταξὺ τοῦ τε ἐσχάτου ὁρατοῦ καὶ τοῦ πρώτου ἀοράτου, δῆλον ὅτι ἐφαρμόσει αὐτῷ, ἐφαρμόζον δὲ αὐτῷ εἴη ἂν ἅμα ὁρατόν τε καὶ ἀόρατο ν , τῷ μὲν εἶναι ἐν τῷ πέρατι τοῦ ὁρατοῦ ὁρατόν, τῷ δὲ ἐν τῇ ἀρχῇ τοῦ ἀοράτου ἀόρατον. εἰ γάρ τις ἀπὸ τοῦ διαστήματος, ἀφ’ οὗ τὸ ὁρώμενον ἦν πρῶτον ὁρατόν, ὁρῴη τοῦτο τὸ ἀμερὲς ὁρατόν, ἅμα ἂν ὁρῴη τε αὐτὸ καὶ οὐχ ὁρῴη· 〈ὁρῴη〉 μὲν ἄν, ὅτι ἐπὶ τάδε κεῖται τοῦ ἐσχάτου διαστήματος, ἀφ’ οὗ οὐχ οἷόν τε ἦν τὸ ὁρατὸν ὁρᾶν, τὰ δὲ ἐπὶ τάδε τοῦ ἐσχάτου ἀοράτου καὶ τοῦ πρώτου ὁρατοῦ διαστήματος ὁρατά· οὐκ ὄψεται δὲ αὐτὸ πάλιν, ὅτι ἐπέκεινα κεῖται τῆς ἀρχῆς τοῦ διαστήματος, ἀφ’ ἧς ἦν τὸ ὁρᾶν οὐχ ὁρώμενον, τὰ δὲ ἐπέκεινα τῆς τοιαύτης ἀρχῆς κείμενα οὐκ ἦν ὁρατά. τὸ γὰρ ἀμερὲς ὁρατὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ μὲν ἐπέκεινα τῆς ἀρχῆς τοῦ ὁρατοῦ κεῖσθαι διαστήματος οὐχ ὁραθήσεται (οὐδὲν γὰρ ἦν ἐπέκεινα αὐτῆς ὁρώμενον), τῷ δὲ ἐπὶ τάδε κεῖσθαι τοῦ πέρατός τε καὶ ἐσχάτου τοῦ ὁρατοῦ διαστήματος ὁραθήσεται. εἰ τοίνυν ἀδύνατον τὸ αὐτὸ ἅμα ὁρατὸν καὶ ἀόρατον εἶναι κατὰ τὸ αὐτό, ἀδύνατον καὶ ἀδιαίρετόν τι ὁρατὸν εἶναι. διαιρετὸν μὲν γὰρ ὂν καὶ τεθὲν κατ' ἐκείνου τὸ μέν τι ὁρατὸν ἕξει (πάντη γὰρ τὸ ἐπὶ τάδε τοῦ ἐσχάτου ὁρατόν· οὐ γὰρ ἐφαρμόσει τῷ ἀμερεῖ ὂν μεριστόν), τὸ δὲ ἀόρατον· τὸ γὰρ ἐπέκεινα τοῦ ὁρατοῦ ἀόρατον.

in Sens.171 τοῦτο γὰρ ἦν τὸ πρώτῳ ἀοράτῳ καὶ ἐσχάτῳ ὁρατῷ εἶναι τὸ τὸ μὲν τὰ ἐπὶ τάδε πάντα ὁρατὰ ἔχειν, τὰ δὲ ἐπέκεινα πάντα ἀόρατα. ἀμερὲς 〈δὲ〉 ὂν 〈ἅμα〉 ἂν τούτων ἀμφότερον γίνοιτο· ὅ ἐστιν ἀδύνατον. Αὐτὸς μέντοι ἔμπαλιν ἐχρήσατο τοῖς ἀποστήμασιν· ἔσχατον μὲν γὰρ εἶπεν τοῦ ἀποστήματος τὸ ὅθεν ἀρξάμενον τὸ ὁρατὸν οὐκέτι ὁρᾶται· καίτοι δοκεῖ τοῦ μὲν ἀφ' οὗ οὐχ ὁρᾶται μὴ δύνασθαι τὸ ἔσχατον ληφθῆναι (διὸ εἶπε καὶ αὐτὸς ἐπ' αὐτοῦ ἔστι γὰρ ὅθεν μὲν οὐκ ἂν ὀφθείη ἄπειρον τὸ ἀπόστημ α) , τοῦ δὲ ἀφ' οὗ ὁρᾶται πρῶτον μὲν εἶναι τὸ πλησίον τῆς ὄψεως, ἔσχατον δὲ μεθ' ὃ ἀπὸ τοῦ αὐτοῦ διαστήματος οὐκ ἂν ὁραθείη. Δοκεῖ δὲ ἄλλοις ἡ δεῖξις λογικωτέρα εἶναι. οὐ γὰρ πᾶν τὸ ὁρατὸν ἀπὸ ἴσου διαστήματος ὁρατόν ἐστιν, ἀλλὰ τὸ μὲν ἐγγύθεν ὁρατόν ἐστι, πόρρωθεν δ' οὔ, τὸ δὲ καὶ πόρρωθεν, ὡς τὰ ἄστρα. οὕτως δὲ ἐχόντων πῶς ἄν τις ἢ τὸ ἔσχατον τοῦ διαστήματος, ἀφ' οὗ οὐχ ὁρᾶται τὰ ὁρατά, ὁρίσαιτο, ἢ τὸ πρῶτον ἀφ' οὗ ὁρᾶται; ἢ εἰ καὶ ὅτι μάλιστα τὰ μὲν ἀπὸ πλείονος διαστήματος ὁρᾶται τῶν ὁρατῶν, τὰ δ' ἀπ' ἐλάττονος, ἀλλ' ἔσται ἑκάστου αὐτῶν πέρας ἀδιαίρετον, μεθ' ὃ οὐκέτι ὁρᾶται τὸ ὁρατόν. Ἐπιζητήσαι δ' ἄν τις πῶς 〈ὅτι〉 οὐκ ἔστι μέρος τι τοῦ συνεχοῦς ἀμερὲς δείκνυσι. τὸ γὰρ μεταξὺ τοῦ διαστήματος τοῦ τε ἐσχάτου ὁρατοῦ καὶ τοῦ πρώτου ἀοράτου ἐστί τι χωρίζον αὐτὰ *** ἅμα ἄν τι εἴη ὅπως *** ἀμερὲς λέγειν *** οἷόν τε ἐξ ἀμερῶν συνεχές τι γίνεσθαι. ἢ δεῖ ὑπολαμβάνειν αὐτὸν οὐχ ἁπλῶς τι ἀμερὲς δεικνύναι, ἀλλὰ πρὸς αἴσθησιν ἀμερές. καὶ δείκνυσιν ὅτι μηδενὸς αἰσθητοῦ ὡς ἀμεροῦς ἡ αἴσθησις αἰσθάνεται. ὅτι γὰρ μηδὲν ἀμερὲς οἷόν τε μέγεθος εἶναι ἐν ἄλλοις ἔδειξε διὰ πλειόνων. δεῖ οὖν ἀκούειν τοῦ ὅτι δὲ τὸ αἰσθητὸν πᾶν ἐστι μέγεθος καὶ οὐκ ἔστιν ἀδιαίρετον αἰσθητὸν ὡς εἰρημένου ἀντὶ τοῦ 'ὅτι δὲ ἡ αἴσθησις οὐδενὸς ὡς ἀμεροῦς αἰσθάνεται.

in Sens.172 · δεικνύοιτο δ' ἂν τὸ μεταξὺ ἀμερὲς πρὸς αἴσθησιν, ὅτι, εἰ ὡς μεριστὸν *** εἴη τῇ αἰσθήσει καὶ ὡς διάστημά τι, ἤτοι ὁρῴη ἂν τὰ ἐν αὐτῷ ἡ ὄψις ἢ οὐχ ὁρῴη. οὕτως δὲ 〈ἂν〉 ἀναιροῖτο εἶναι πρῶτον τοῦ διαστήματος ἀφ' οὗ τι ὁρᾶται τὸ ὡς πρῶτον εἰρημένον ἤτοι εἶναι ἔσχατον τοῦ ἀφ' οὗ οὐχ ὁρᾶται τὰ ὁρώμενα τὸ εἰλημμένον ὡς ἔσχατον. ἢ οὐκ ἀνάγκη τὸ μεταξὺ διάστημα εἶναι τοῦ τε ἀφ' οὗ ὁρᾶται τὸ ὁρατὸν καὶ τοῦ ἀφ' οὗ οὐχ ὁρᾶται. ἐπὶ γὰρ τῶν οὕτως ἐχόντων ἀνάγκη τὸ αὐτὸ τοῦ μὲν πέρας εἶναι, τοῦ δὲ ἀρχήν. εἰ γὰρ συνεχές ἐστι τὸ 〈μεταξὺ〉 διάστημα τοῦ ἐν ᾧ τό τε ἔσχατόν ἐστιν ἀπόστημα τοῦ ἐν ᾧ ὁρᾶται ἐσχάτου τὸ ὁρατὸν καὶ τοῦ ἐν ᾧ πρώτῳ ἀρξάμενον μὴ ὁρᾶσθαι οὐκέτι ὁρᾶται, δῆλον ὡς ἔχει κοινόν τινα ὅρον τὸν συνάπτοντα τό τε ἔσχατον αὐτοῦ ὁρατὸν καὶ τὸ πρῶτον ἀόρατον, μᾶλλον δὲ ταὐτόν ἐστιν ἀμφότερα, τοῦ μὲν πέρας, τοῦ δὲ ἀρχή, ὁ μέσος ὅρος ὢν ἀδιαίρετος· τοιοῦτος γὰρ ὁ ὅρος καθ' ὃν συνῆπται τὰ συνεχῆ, ὁποῖόν ἐστι καὶ τὸ διάστημα δι' οὗ ὁρᾶταί τε τὰ ὁρώμενα καὶ οὐχ ὁρᾶται. ἔσται ἄρα ἐν ἀμφοτέροις τοῖς μέρεσι τοῦ διαστήματος τοῦ ἐσχάτου ὁρατοῦ καὶ τοῦ πρώτου ἀοράτου, τοῦ μὲν πέρας ὄν, τοῦ δὲ ἀρχή· ἐν ᾧ ἂν 〈οὖν〉 τεθῇ τὸ ἀμερὲς αἰσθητόν, ἐφαρμόσει τ' αὐτῷ καὶ ἔσται καὶ αὐτὸ ἐν ἀμφοτέροις, καὶ τῷ ὁρατῷ καὶ τῷ ἀοράτῳ. ὂν δὲ ἐν ἀμφοτέροις, καθόσον μέν ἐστιν ἐν τῷ ὁρατῷ πέρας ὂν αὐτοῦ, ὁρῷτο ἄν, καθόσον δέ ἐστιν ἐν ἀοράτῳ ἀρχὴ ὂν αὐτοῦ, οὐκ ἂν ὁρῷτο. οὕτω δὲ ἅμα 〈ἂν〉 ὁρῷτό τε καὶ οὐχ ὁρῷτο· τῷ μὲν γὰρ μὴ εἶναι ἐπὶ τάδε τοῦ πέρατος τοῦ ὁρατοῦ οὐκ ἂν ὁρῷτο (ἦν γὰρ ὁρατὰ ταῦτα), τῷ δὲ μὴ εἶναι ἐπέκεινα τῆς ἀρχῆς, ἀφ' ἧς οὐχ ἑωρᾶτο τὰ ὁρατά, ὁρῷτο ἄν, ἅτε μηδέπω ὂν ἐν τῷ ἀοράτῳ διαστήματι. ὃ διαιρετὸν ὂν οὐκέτ' ἂν ἔπασχεν· ἦν γὰρ ἂν αὐτοῦ τὸ μὲν ὁρατόν, ὅσον ἦν αὐτοῦ ἐν τῷ ὁρατῷ, τὸ δὲ ἀόρατον, τὸ ὂν ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ μετὰ τὸ ὁρατὸν διαστήματι. Ἔοικε δὲ διὰ τούτων τὸν περὶ τῶν ἀμερῶν λόγον ἐρωτώμενον εἴτε ὑπὸ Διοδώρου εἴτε καὶ ὑπ’ ἄλλου τινὸς αὐτὸς ἠρωτηκέναι τε πρῶτος καὶ κεχρῆσθαι αὐτῷ. ἀλλ’ οὗτος μὲν εὑρὼν ἐχρήσατο αὐτῷ ὑγιῶς, οἱ δὲ μέγα ἐπ’ αὐτῷ φρονοῦντες ἔλαβον μὲν αὐτὸν παρὰ τούτου, ἐχρήσαντο δὲ αὐτῷ οὐ δεόντως.

in Sens.173 ὁ μὲν γὰρ ἔδειξε δι’ αὐτοῦ 〈τὸ〉 πρὸς αἴσθησιν γινόμενον ἀμερὲς οὐκ ὂν ἀδύνατον, ἀλλ’ ὂν ἐν τῇ φύσει καὶ ἐν τοῖς πράγμασιν, [ἀλλ’] ὡς μηδὲν ὂν ἀμερὲς αἰσθητὸν τῷ μηδὲ τὸ μεταξὺ τοῦ τε ἐσχάτου αἰσθητοῦ καὶ τοῦ πρώτου ἀναισθήτου δύνασθαί τι εἶναι διάστημα ἀμερὲς ὄν· οὗτος γὰρ ὁ τὰ συνεχῆ συνέχων ὅρος. σώματος δὲ μέρος ἢ αἰσθητοῦ ἢ ἀναισθήτου ἀδύνατον εἶναι ἀμερές, ἐφ’ οὗ αὐτῷ ἐχρήσαντο οἱ παραλογιζόμενοι, εἴγε τὸ τοῦ σώματος μέρος σῶμα. διὸ οὐδὲ οἷόν τε ἐπ’ ἐκείνων ἢ μέγιστον ἀνεπαίσθητον ἢ ἐλάχιστον αἰσθητὸν τῇ αὑτοῦ φύσει, τῷ δεῖν μὲν *** ἀμερὲς εἶναι, ἀλλὰ πᾶν 〈μέγεθος ἐπ’〉 ἄπειρον εἶναι διαιρετόν. δείξας δὲ ταῦτα, ἀνακεφαλαιοῦται διὰ βραχέων περὶ τῶν εἰρημένων ἐν τῷ βιβλίῳ καὶ μνημονεύει ὅτι μετὰ τὸ βιβλίον τοῦτο τὸ Περὶ μνήμης καὶ ὕπνου τέτακται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org